# ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ

ΚΑΙ

# ΒΙΟΣ ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΤΩΝ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ ΤΟΥ ΑΘΩ

ΕΝ ΤΗ ΙΕΡΑ ΣΚΗΤΗ ΤΗΣ ΘΕΟΠΡΟΜΗΤΟΡΟΣ ΑΓΙΑΣ ΑΝΝΗΣ, ΔΙΑΛΑΜΨΑΝΤΩΝ

ΟΣΙΩΝ ΜΕΝ ΤΕΣΣΑΡΩΝ ΟΣΙΟΑΘΛΩΝ ΔΕ ΕΝΝΕΑ

ΠΡΟΣΕΤΕΘΗ ΔΕ ΚΑΙ Η ΑΝΑΣΤΑΣΙΜΟΣ ΑΚΟΛΟΥΘΙΑ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΚΔΙΔΕΤΑΙ ΤΟ ΠΡΩΤΟΝ

ΥΠΟ ΧΑΡΑΛΑΜΠΟΥ ΜΟΝΑΧΟΥ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΟΥ

ΕΚ ΤΗΣ ΚΑΛΥΒΗΣ Η ΚΟΙΜΗΣΙΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

ΚΑΙ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΜΟΝΑΧΟΥ

ΕΚ ΤΗΣ ΙΕΡΑΣ ΣΚΗΤΗΣ ΤΗΣ ΘΕΟΠΡΟΜΗΤΟΡΟΣ ΑΓΙΑΣ ΑΝΝΗΣ

ΑΓΙΟΝ ΟΡΟΣ ΑΘΩ

ΤΥΠΟΙΣ ΑΝΩΝ. ΕΤΑΙΡΕΙΑΣ ΕΚΔΟΣΕΩΝ
"ΝΕΑ ΕΛΛΗΝΙΚΗ ΗΩΣ„ (Ι. ΧΑΤΖΗ-Ι-ΩΑΝΝΟΥ)
ΚΟΛΟΚΥΝΘΟΥΣ 2 ΑΘΗΝΑΙ
1929



**ΟΙ ΕΝ ΤΗ ΣΚΗΤΗ ΤΗΣ ΑΓΙΑΣ ΑΝΝΗΣ ΔΙΑΛΑΜΨΑΝΤΕΣ ΤΕΣΣΑΡΕΣ ΟΣΙΟΙ ΚΑΙ ΕΝΝΕΑ ΟΣΙΟΑΘΛΟΙ ΠΑΤΕΡΕΣ**

# ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ

ΚΑΙ

# ΒΙΟΣ ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΤΩΝ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ ΤΟΥ ΑΘΩ ΕΝ ΤΗ ΙΕΡΑ ΣΚΗΤΗ ΤΗΣ ΘΕΟΠΡΟΜΗΤΟΡΟΣ ΑΓΙΑΣ ΑΝΝΗΣ ΔΙΑΛΑΜΨΑΝΤΩΝ· ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΤΡΙΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΜΑΤΘΑΙΟΥ ΗΤΟΙ ΜΕΤΑ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ

ΕΥΓΕΝΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΣΠΕΡΑΣ ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῶν Ἁγίων δ΄.
Ἦχος Α΄. Τῶν Οὐρανίων Ταγμάτων.

Δεῦτε χορὸς τῶν ἀζύγων, Ὄρους τοῦ Ἄθωνος ἐπὶ τῇ Θείᾳ μνήμῃ, δεκατριῶν Θεοφόρων, Πατέρων, ἀθροισθέντες ᾀσμάτων ᾠδαῖς, καὶ τοῖς ὕμνοις κροτήσωμεν, χρεωστικῶς ἐκτελοῦντες τὴν παμφαῆ, καὶ λαμπρὰν αὐτῶν πανήγυριν.

Θεοπρομήτορος Ἄννης, Σκήτεως ἅπαντες, Μονασταὶ καὶ Μεγάδες, συναθροίσθητε ἅμα, σήμερον τελοῦντες μνήμην φαιδράν, τῶν ἐννέα Ἀθλοφόρων μέν, καὶ τῶν Ὁσίων δὲ ἅμα ὄντων ἡμῶν, πολιούχων ἀκλινῶν πρεσβευτῶν.

Οἱ τῆς ἀσκήσεως πόνοι, τοῖς τῆς ἀθλήσεως, ὁσιόαθλοι πόνοις, εὐκλεῶς ἑνωθέντες, πτέρυγας αὔλους ὑμῖν μυστι-

κῶς, ἐργασάμενοι Ἅγιοι, πρὸς καλιὰς οὐρανίους ὡς Ἀετοί, ὑψηπέται ἐπετάσθητε.

Σὺν ταῖς χορίαις Ὁσίων, καὶ τῶν Μαρτύρων Σοφοί, τῷ Θεανθρώπῳ Λόγῳ, παρεστῶτες ἐν δόξῃ, τοῦτον ὡς Δεσπότην καὶ Ποιητήν, τῶν ἁπάντων Τρισόλβιοι, μέμνησθε πάντων τῶν πίστει τὴν Ἱεράν, ἡμῶν μνήμην ἑορτάζοντας.

Δόξα· ἦχος Β'

Εἰς ὕψος ἀρετῶν ἐπαρθέντες δι' ἀσκήσεως, Ὁσιόαθλοι πρότερον, καὶ Θεῷ δι' ἀθλήσεως ὕστερον, ἐν ἑκατέροις εὐδοκιμήσαντες, ἀνεπτερώθητε ὡς περιστεραὶ χρυσαυγίζουσαι, καὶ πρὸς τὸν ποθούμενον Χριστόν, ψαλμικῶς κατεπαύσατε, Ὁσιομάρτυρες ἀοίδιμοι, ἐκτενῶς δεόμενοι ὑπὲρ ἡμῶν· τῶν τελούντων τὴν Μνήμην ὑμῶν.

Καὶ νῦν, Θεοτοκίον Δογματικόν· ἦχος Β'.

Ὢ τοῦ μεγίστου μυστηρίου! Βλέπων τὰ θαύματα, ἀνακηρύττω τὴν Θεότητα, οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα· ὁ γὰρ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἤνοιξεν, ὡς φιλάνθρωπος, παρθενίας δὲ κλεῖθρα οὐ διέρρηξεν, ὡς Θεός, ἀλλ' οὕτως ἐκ μήτρας προῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν· οὕτως ἐσαρκώθη, ὡς συνελήφθη, ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθεν, κατὰ τὸν Προφήτην, τὸν λέγοντα : Αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον τὸ Ἀναστάσιμον Στιχ. Ἦχος Β'.

Ἡ Ἀνάστασίς Σου, Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν οἰκουμένην, καὶ ἀνακαλέσω τὸ ἴδιον πλάσμα, Παντοδύναμε Κύριε, δόξα σοι.

Εἶτα τὰ παρόντα, τῶν Ὁσίων, Ἦχος Β'.
Οἶκος τοῦ Εὐφραθᾶ.

Σκήτη ἡ Ἱερά, Μητρὸς τῆς Θεοτόκου, τὴν Μνήμην ἑορτάζει, σεπτῶν Ὁσιοάθλων, τῶν Θεοφόρων σήμερον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων.

Φοίνικες νοητοί, Κυπάρισσοι τοῦ Ἄθω, καὶ Σκήτεως τὸ κλέος, Δεκατρεῖς ὄντως, Ὅσιοι ἀνεδείχθητε.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Ἄνωθεν ὑφαντόν, ἐνεδύσασθε ὄντως Χιτῶνα ἀφθαρσίας, τὴν φθορὰν ἐκδυθέντες, πόνοις διττοῖς πανένδοξοι.

Δόξα Ὅμοιον.

Τριάδος τῆς σεπτῆς Δεκατρεῖς μακάριοι, σεπτῶν Ὁσιοάθλων, πρεσβεύσατε τὸ θεῖον, πταισμάτων ἡμῶν ῥύσασθαι.

Καὶ νῦν Θεοτοκίον.

Νύμφη ἡ τοῦ Θεοῦ, Μητρόθεε Παρθένε, σὺν τοῖς σεπτοῖς Ὁσίοις, ἅμα Ὁσιοάθλοις, ὑπὲρ ἡμῶν πρεσβεύσατε.

Τὰ Ἀπολυτίκια.
Τὸ Ἀναστάσιμον. Ὅτε κατῆλθες πρὸς τὸν θάνατον.
Δόξα τῶν Ὁσίων. Ἦχος Α'. Τοῦ λίθου σφραγισθέντος.

Ἐκλόγια τοῦ Ἄθω, καὶ τῆς Σκήτεως ῥόδα, καὶ τῆς οἰκουμένης λαμπτῆρες, ἐδείχθητε Θεοφόροι Πατέρες, οἱ Δεκατρεῖς ὁμοῦ, ἀσκήσαντες καὶ ἀθλήσαντες καλῶς· διὰ τοῦτο τὴν Ἁγίαν Μνήμην ὑμῶν, ἐπιτελοῦντες βοῶμεν, Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, Δόξα τῷ Ἁγιάσαντι, Δόξα, τῷ ἐν κινδύνοις ἡμῶν προστάτας δείξαντι.

Καὶ νῦν Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· Δόξα τῷ προελθόντι ἐκ σοῦ· Δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

"Ετερον τῶν Ὁσίων. Ἦχος πλάγ. Α΄. Τὸν Συνάναρχον Λόγον.

Μοναζόντων ἀλείπται Μαρτύρων ἔρεισμα, ὁδηγοὶ πρὸς τὰ ἄνω Πατέρες Ὅσιοι, ἡμῶν προστάται πρὸς Θεόν, φρουροὶ ἐδείχθητε, οἱ τρεισκαίδεκα λαμπροί, τῆς Σκήτεως πολιοῦχοι, δι' ὃ τιμῶμεν ἐν πόθῳ, τὴν Ἱερὰν ἡμῶν Μνήμην, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύοντας.

## ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογοῦμεν τό, Α΄. Κάθισμα τοῦ Ψαλτηρίου ὅλον.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν Στιχ. Ι΄. Καὶ ψάλλομεν. Ἀναστάσιμα δ΄.
Εἶτα τῶν Ἁγίων Προσόμοια στ΄.

Ἀναστάσιμα. Ἦχος Β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν, Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε· καὶ ἀναστὰς ἐκ νεκρῶν ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε. Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν Χριστοῦ τὴν Ἀνάστασιν, αὐτὸς γὰρ Λυτρωτής ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν· καὶ ἐν δόξῃ φοβερᾷ καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται κρῖναι Κόσμον ὃν ἔπλασεν.

"Ετερα στιχηρὰ Ἀνατολικά.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί· δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος, ἀνέστη γὰρ καθὼς εἶπεν ὡς Παντοδύναμος.



Καὶ τῶν Ὁσίων ΣΤ΄.
Ἦχος Β΄. Ὅτε ἐκ τοῦ Ξύλου σὲ νεκρόν.

Αἶνον τῷ Θεῷ χαρμονικῶς, πᾶσαι Μοναστῶν αἱ χορεῖαι, κροτοῦμεν σήμερον, ἐν τῇ μνήμῃ τῶν σεπτῶν συμμοναστῶν ἡμῶν, Ἱεροῖς μελῳδήμασι, καὶ ᾄσμασι θείοις, τούτων τὰ παλαίσματα καὶ κατορθώματα, πόθῳ εὐφημοῦντες ἀξίως, οὕσπερ ἡ Τριὰς ἡ Ἁγία, ὡς αὐτὴν δοξάσαντας ἐδόξασεν.

Δεῦτε τῶν Ὁσίων ὁ χορός, καὶ Ὁσιοάθλων γενναίων, ὁ λαμπρὸς θίασος, ἅμα τοῖς τοῦ Ἄθωνος Μονασταῖς σήμερον, τὴν χορείαν τὴν πάντιμον, τῶν Ὁσιοάθλων, ὕμνοις στεφανώσωμεν, ὡς νικητὰς τοῦ Ἐχθροῦ, πόθῳ πρὸς αὐτοὺς ἐκβοῶντες, Χαίρετε τῆς Σκήτεως αὖχος, καὶ Ὁσιοάθλων ἀκροθύνια.

Ὅτε ἐκαθάρθητε παθῶν, διὰ προσευχῆς καὶ νηστείας, καὶ ἡσυχίας πολλῆς, τότε πρὸς τὸ στάδιον ηὐτομολήσατε, καὶ Χριστὸν ἐκηρύξατε, σταδίου ἐν μέσῳ, Κοσμᾶ καὶ Νεκτάριε, Λουκᾶ Νικόδημε, Δαβὶδ Ἱλαρίων Νικήτα, ἅμα Μακαρίῳ καὶ Παύλῳ, ἐπαξίως πάντας νῦν γεραίρομεν.

"Ετερα προσόμοια ἦχος ὁ αὐτός.
Ποίοις Εὐφημιῶν στέμμασι.

Ποίοις πνευματικοῖς ἔπεσιν, εὐφημήσομεν τοὺς Θεοφόρους, ἅμα Γεροντίῳ Σωφρόνιον, καὶ σὺν Μητροφάνει Διονύσιον, τὰ σεπτὰ καὶ εὔοσμα τοῦ Ἄθω, ῥόδα, ἀειθαλῆ τε τῆς ἀσκήσεως· λαμπτῆρας καὶ πολιούχους ἡμῶν Σκήτεως τοὺς ἐπιγείους Ἀγγέλους, βροτοὺς οὐρανίους, οὓς ἐδόξασεν ὁ Χριστός, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις μελῳδικοῖς ᾄσμασιν, ἀνυμνήσομεν τοὺς Θεοφόρους, τοὺς ἐπὶ τῆς γῆς διαπρέψαντας, καὶ ἐν τοῖς ὑψίστοις ὑπάρχοντας; Τοὺς τῆς Οὐρανίου Βασιλείας; Μετόχους καὶ κληρονόμους Θείᾳ χάριτι· καὶ δόξαν, παρὰ Χριστοῦ ὑπερπλουτήσαντας, ἡμῶν προστάτας τοὺς Θείους, Μοναστῶν ἐρείσματα, Ἀθλητῶν τὴν Καλλονήν, οὓς δόξης ὁ Κύριος, λαμπρῶς ἐν πόλῳ ἐδόξασεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ποίοις εὐφραντικοῖς μέλεσι, ἐπαινέσομεν τοὺς ἀριστέας, τοὺς ὑπὲρ Χριστοῦ ἐναθλήσαντας, καὶ τοὺς εὐσεβεῖς καταυγάσαντας; τὰ σεπτὰ τοῦ Πνεύματος πυξία; Ἀστέρας, ἀειλαμπεῖς ὄντας τῆς χάριτος· καὶ πάντας, τοῖς θαυμασίοις καταυγάζοντας, οὕσπερ ὁ πάντων Δεσπότης, ἀφθάρτοις στεφάνοις ἐστεφάνωσεν ὡς εἰκός, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα Ἦχος Β'.

Δεῦτε Μοναζόντων ὁ θίασος, ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ᾀσμάτων ᾠδαῖς ἠχήσωμεν, καὶ τοὺς ἐξ ἡμῶν ἐν ἀρεταῖς ἐκλάμψαντας τιμήσωμεν· οὗτοι γὰρ μεθ' ἡμῶν τὸ ἐνδιαίτημα ἔχοντες, τὸν οὐρανὸν ἐκέκτηντο, καὶ ὑποβάθρᾳ τὴν ταπείνωσιν χρησάμενοι, πρὸς τὴν ἐκεῖσε ἄνοδον, τοῖς Ἀγγέλοις συναυλίζονται. Συγκαλοῦντας ἡμᾶς τοὺς ἐπὶ γῆς, ὕμνους πρὸς οὐρανὸν ἀναπέμπειν, καὶ γῆθεν συμπρεσβεύειν πρὸς Θεὸν τῶν ὅλων, ἵνα σωθέντες τῶν βιωτικῶν θορύβων, τῆς χορείας τῶν οὐρανίων ἀξιωθῶμεν εὐχαῖς αὐτῶν, καὶ τόν πάντων Θεὸν σὺν αὐτοῖς ἀνυμνήσωμεν.

Καὶ νῦν Θεοτοκίον ἦχος ὁ αὐτός.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς χάριτος ἐλθούσης, ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν ἥλιος, ἀντὶ Μωϋσέως Χριστὸς ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. — Τὸ Φῶς Ἱλαρόν. — Τὸ προκείμενον. — Ὁ Κύριος Ἐβασίλευσεν. — Καὶ τὰ Ἀναγνώσματα. — Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα,

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς, αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αυτῷ συνοίσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αυτῷ· ὅτι χάρις κοὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως. Βίος ἀκηλίδωτος, εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μὴ θέντες ἐπὶ διανοίᾳ το τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, πάντα τὰ Ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν, τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμί· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγὼ εἰμὶ Κύριος, καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σῴζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἔστιν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρού-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

Εἰς τὴν Λιτὴν ψάλλομεν τὸ Ἰδιόμελον τοῦ Ἁγίου τῆς Μονῆς.
Ἦχος Α΄.

Τὴν ἀπαρχὴν τῆς ἡμῶν σωτηρίας, φαιδρῶς ἡ γεννήσασα σήμερον ἐκ γῆς μεθίσταται, Ἄννα ἡ πανσεβάσμιος· δεῦτε οὖν Φιλέορτοι καὶ Φιλόχριστοι, τὰ τῶν ᾀσμάτων ἄνθη ἀναλαβόντες, πρὸς αὐτὴν ἀνακράξωμεν, σώφρων Ἄννα, μακαρία ἡ κοιλία σου, ἡ τὴν μητέρα τοῦ Θεοῦ Λόγου βαστάσασα, καὶ οἱ μαστοί σου ὡραῖοι, οἷς αὐτὴν ἐθήλασας, καὶ γὰρ αὕτη τεκοῦσα ἀσπόρως τὸν Ζωοδότην, σὺν αὐτῷ ἠξίωται Βασιλεύειν καὶ σὲ νῦν μεταστήσας πρὸς ἄληκτον καὶ θείαν ζωήν, τῇ Μητρὶ αὐτοῦ οἰκεῖν καὶ συναγάλλεσθαι κατηξίωσεν, ὅθεν δυσωποῦμεν σε οἱ τελοῦντες τὴν μνήμην σου πιστῶς, σὺν αὐτῇ πρεσβεύειν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὰ Παρόντα τῶν Ἁγίων. Ἦχος Α΄.

Ἰδοὺ νῦν ἐξέλαμψεν ἡ ὁλόφωτος πανήγυρις, τῶν Πατέρων καὶ Ὁσιοάθλων Χριστοῦ, ὡς ἀστέρας νοητοὺς ἡ Ἐκκλησία τούτους προβαλλομένη, τὰς τῶν πιστῶν διανοίας φωτίζοντας, καὶ τὰ νέφη τῶν παθῶν ἐκδιώκοντας, οἷς καὶ ἡμεῖς τὸν ὕμνον προσφέρομεν λέγοντες, Χαίρετε Πατέρων ὄρους Ἄθω ἐκλόγια, καὶ Μαρτύρων ἀγλάϊσμα, τῆς Ἐκκλησίας ἀστέρες ἀειλαμπεῖς, καὶ τῆς Σκήτεως ταύτης τὸ καύχημα, ἡμῶν δὲ τῶν συνασκητῶν πρεσβευταὶ ἑτοιμότατοι. Ἀλλὰ μὴ παύσητε πρεσβεύειν δυσωποῦμεν ὑμᾶς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων, τὴν σεβάσμιον μνήμην ὑμῶν.

Ἦχος Β΄.

Δεῦτε φιλεόρτων συστήματα, τὴν τῶν σεπτῶν συμμοναστῶν ἡμῶν, μνήμην ἐπαξίως τιμήσωμεν· σήμερον γὰρ οὐρανὸς καὶ ἡ γῆ τὴν χάριν μερίζοντας, ὁ μὲν τὰ πνεύματα αὐτῶν κατέχων, ἡ δὲ τὰ Ἱερὰ σκηνώματα τούτων κεκτημένη σεμνύνεται. Κἀκεῖσαι μὲν ἡ Ἐκκλησία τῶν Πρωτοτόκων δεξαμένη ἀγάλλεται· ἡμεῖς δὲ τὰς ἰάσεις ἀντλούμενοι, πνευματικῶς εὐφραινόμεθα, πρὸς οὓς βοήσωμεν· Τετρὰς Ὁσίων πανσεβέστατε, καὶ Ἐννεάριθμοι ὁσιόαθλοι, συμμονασταὶ ἡμῶν, καὶ σύσκηνοι χρηματίσαντες. Μὴ διαλίπητε γενναιότατοι, ὑπὲρ ἡμῶν δυσωποῦντες, ὡς παῤῥησίαν κεκτημένοι, σωθῆναι ἡμᾶς, τοὺς ἐκ πόθου ἐκτελοῦντας, τὴν φαιδρὰν ὑμῶν Πανήγυριν.



Ὁ αὐτός.

Δεῦτε συνελθόντες κροτήσωμεν, σήμερον γὰρ ἑορτὴ χαρμόσυνος, τῇ Ἱερᾷ ταύτῃ Σκήτῃ ἡμῶν ἐπέλαμψεν· συγκαλοῦσι γὰρ ἡμᾶς οἱ ἐξ ἡμῶν Ὁσιοθέντες, τοὺς ἀγῶνας αὐτῶν καὶ ἆθλα προτιθέμενοι· εὐφρανθῶμεν οὖν ἅπαντες, οἱ πολιτείαν ἰσάγγελον αἱρετησάμενοι. Καὶ ἄνθη ζωῆς εὐόσμου τῷ Θεῷ προσενέγκομεν, αἰτούμενοι συγκληρονόμους τοῖς ἐξ ἡμῶν γενέσθαι, ὧν ἀγαθῶν ὁ Σωτὴρ ἐπηγγείλατο. Ἀλλ', ὦ παμμακάριστοι καὶ ἀξιάγαστοι, ὑπὲρ ἡμῶν ἔντευξιν πρὸς Θεὸν ποιήσατε, παῤῥησίαν ὡς ἔχοντες πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἰτήσατε ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος δ΄.

Θεοπρεπεῖ πολιτείᾳ, ὁσιομάρτυρες ἑαυτοὺς ἐγγυμνασάμενοι, θεοσεβεῖ μαρτυρίᾳ τὸν βίον ἐπεσφραγίσατε, καὶ δι' ἀμφοῖν εὐδοκιμήσαντες, διπλοῦν τὸ στέφος, ἐκ ζωηφόρου δεξιᾶς ὑποδέξασθε, τῷ ἀκροτάτῳ τῶν ἐφετῶν προσπαλαίσαντες, καὶ ἀμοιβὰς τῶν ἀγώνων κομιζόμενοι καὶ ἡμῖν αἰτοῦντες τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ὑπελθόντες τὸν τοῦ Δεσπότου ζυγὸν ἐλαφρότατον, καὶ λευκάναντες ὑπὲρ χιόνα, τοῖς κρουνοῖς τῶν δακρύων ὑμῶν τὸν χιτῶνα τῆς ψυχῆς, αὖθις ὡς πορφύρα Βασιλικόν, τοῦτον ἐβάψατε, τῆς ἀθλήσεως, ἐν αἵμασι, σεπτοὶ ὁσιομάρτυρες, Ὅθεν στεφθέντες ὡς νικηταί, παρὰ Χριστοῦ τοῦ παμβασιλέως, εἰσήλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, αὐτῷ συμβασιλεύοντες, ἡμῖν ἐξαιτούμενοι, τοῖς τελοῦσιν ἡμῶν τὰ Μνημόσυνα, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλάγ. Α΄.

Ἐξέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ εὐφρόσυνος πανήγυρις, τῶν ὁσίων συμμοναζόντων, καὶ ὁσιάθλων Χριστοῦ. Σή-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ...

μερον γὰρ οὗτοι οἱ καλοὶ στρατιῶται τοῦ Οὐρανίου Βασιλέως, πνευματικὴν χορείαν κροτήσαντες, ἀοράτως τὰς χάριτας νέμουσι, τοῖς πιστῶς εὐφημοῦσιν αὐτούς, δι' ὃ καὶ ἡμεῖς χαρμοσύνως, τὴν τούτων Μνήμην χρεωστικῶς ἐκτελέσωμεν, ὡς πολιούχους καὶ προστάτας ἡμῶν ὄντας, ἵνα λάβωμεν δι' αὐτῶν, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν.

Καὶ νῦν Θεοτοκίον τὸ Δογματικόν· ἦχος ὁ αὐτός.

Τὴν Θεοπρεπῆ καὶ σεβάσμιον Κόρην τιμήσωμεν, τὴν ὑπέρτιμον τῶν Χερουβίμ. Ὁ γὰρ Δημιουργὸς τῶν ὅλων ἐνανθρωπῆσαι βουληθείς, ἐν αὐτῇ ᾤκησεν ἀφράστως. ὢ ξένων πραγμάτων, καὶ παραδόξων μυστηρίων, τίς οὐκ ἐκπλαγῇ ἐν τούτῳ ἀκουτισθείς, ὅτι Θεὸς Ἄνθρωπος γίνεται, τροπὴ ἐν αὐτῷ οὐχ ὑπῆρξε, καὶ τῆς Παρθενίας πύλας διῆλθε; καὶ μείωσις ἐν αὐτῇ οὐχ ὑπελείφθη, καθὼς ὁ Προφήτης λέγει· ἄνθρωπος ταύτην οὐ διοδεύσει ποτέ, εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

---

## ΑΙ ΣΥΝΗΘΕΙΣ ΕΥΧΑΙ

Εἰς τὸν Στίχον τὸ Στιχηρὸν Ἀναστάσιμον· ἦχος Β΄.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα· παντοδύναμε Κύριε δόξα σοι.

Εἶτα τῶν Ὁσίων. Ἦχος πλάγ. Α΄.
Στίχ. Συναγάγετε αὐτῷ τοὺς Ὁσίους αὐτοῦ.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίρετε ἀσκητῶν Ἱερά, ἄστρα λαμπρότατα, στεῤῥοὶ ὁσιόαθλοι, στρατείας Θείας τῆς ἄνω, ὡς καὶ τῆς κάτω Υἱοί, ὄρους Ἄθω ὄντες ἄνθη εὔοσμα, νηστείαις καὶ δάκρυσιν, ἑαυτοὺς ἐκκαθάραντες, Νόες οἱ θεῖοι, οἱ νοοῦντες τὰ ἔνθεα, ἐπουράνιοι κατ' ἀλήθειαν ἄνθρωποι καὶ ἐπίγειοι, οὐρανόφρο-



νες Ἄγγελοι, ὅθεν ἔξω γενόμενοι, σαρκὸς φθειρομένης τε, καὶ Κόσμου πάσης φροντίδος, πνευματικῶς διηνύσατε, τὸν βίον καὶ δόξης, οὐρανίου ἐπαξίως, κατηξιώθητε,

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ Θάνατος τῶν Ὁσίων.

Ἄραντες ἐπὶ ὦμον σταυρόν, τὸν τοῦ Κυρίου, θεοφόροι τετράριθμοι, προθύμῳ τούτῳ Καρδίᾳ, τὰς κοσμικὰς ἡδονάς, παντελῶς καὶ δόξαν ἐμισήσατε, Γερόντιε ὅσιε, Διονύσιε καὶ Σωφρόνιε, καὶ Μητρόφανες, ἡ τετρὰς ἡ θεόλεκτος, σὺν τῶν μαρτύρων, οἱ τῆς Σκήτεως πρόβολοι, ὅθεν ὑμᾶς γεραίρομεν, καὶ πόθῳ τὴν εὔσημον, τελοῦμεν μνήμην ἐν ὕμνοις, ἀνευφημοῦντες πανόσιοι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Δόξῃ στεφανωθέντες σοφοί, ἀμαραντίνοις κοσμηθέντες στεφάνοις τε, Μαρτύρων τε καὶ Ὁσίων, στεφανηφόροι λαμπρῶς, τῷ Δεσπότῃ πάντων νῦν παρίστασθε, Κοσμᾶ καὶ Μακάριε, καὶ Λουκᾶ Ἱλαρίων τε, σὺν Νικοδήμῳ Παῦλε Δαβὶδ τε Νεκτάριε, καὶ Νικήτα τε, ἐννεάδος ἰσάριθμοι, Σκήτεως πολιοῦχοι τε, κινδύνων ῥυόμενοι, καὶ πειρασμῶν πολυτρόπων, καὶ χαλεπῶν ἐξαιρούμενοι, ἡμᾶς τοὺς ἐκ πόθου, ἐκτελοῦντας ὑμῶν Μνήμην τὴν ἀξιάγαστον.

Δόξα. Ἦχος πλάγ. δ΄.

Τῶν λαμπρῶν ὑμῶν ἀγώνων τὰ ἐξαίρετα κατορθώματα, οὐρανῶν αἱ δυνάμεις κατεπλάγησαν, Πατέρες Ὅσιοι, καὶ γὰρ ἐν σώματι θνητῷ, τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσατε, καὶ τοῖς ὑμῶν γενναίοις παλαίσμασι, καὶ ἀγωνίσμασιν, ἀοίδιμοι, νοητοὺς καὶ αἰσθητοὺς ἀντιπάλους, σταθερῶς κατεβάλετε, καὶ τὴν ἐκείνων ἀνδρείαν καὶ ὀφρὺν ἐτροπώσασθε. Ὅθεν Χριστὸς ὁ ἀγωνοθέτης, στεφάνοις νικητικοῖς ἀμαραντίνοις, ὑμᾶς τρισόλβιοι ἀντημείψατο, καὶ τῆς ἀνωλέθρου τρυφῆς κληρονόμους ἀπειργάσατο, ἔνθα διηνεκῶς αὐλιζόμενοι, ἡμᾶς περιφρουρήσατε, τοὺς τελοῦντας τὴν μνήμην ὑμῶν.

Καὶ νῦν Θεοτοκίον ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον Ἀναστάσιμον. Ἦχος Β΄.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον : Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀπολυτίκιον τῶν Ὁσίων ἦχος Α΄. Τοῦ Λίθου σφραγισθέντος.

Ἐκλόγια τοῦ Ἄθω, καὶ τῆς Σκήτεως ῥόδα, καὶ τῆς Οἰκουμένης λαμπτῆρες, ἐδείχθητε Θεοφόροι, Πατέρες οἱ δεκατρεῖς ὁμοῦ, ἀσκήσαντες καὶ ἀθλήσαντες καλῶς· διὰ τοῦτο τὴν Ἁγίαν Μνήμην ἡμῶν, ἐπιτελοῦντες βοῶμεν, Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, Δόξα τῷ Ἁγιάσαντι, Δόξα, τῷ ἐν κινδύνοις ἡμῶν προστάτας δείξαντι.

Δόξα Ἕτερον τὸν Συνάναρχον Λόγον ἦχος πλάγ. Α΄.

Μοναζόντων ἀλεῖπται Μαρτύρων ἔρεισμα, ὁδηγοὶ πρὸς τὰ ἄνω Πατέρες Ὅσιοι, ἡμῶν προστάται πρὸς Θεὸν φρουροὶ ἐδείχθητε, οἱ τρεῖςκαίδεκα λαμπροὶ τῆς Σκήτεως Πολιοῦχοι, δι' ὃ τιμῶμεν ἐν πόθῳ τὴν Ἱερὰν ὑμῶν μνήμην, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύοντας.

Καὶ νῦν Θεοτοκίον, ἦχος ὁ αὐτός.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος, καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν Τόκον σου.



Τὸ Θεοτόκε Παρθένε. — Καὶ ἡ Εὐλόγησις τῶν Ἄρτων.
Καὶ Ἀνάγνωσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τό, Θεὸς Κύριος. Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. — Δόξα τῶν Ὁσίων.
Καὶ νῦν, τὸ Θεοτοκίον.
Μετὰ τὴν Α Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα μετὰ τῶν Θεοτοκίων αὐτῶν.

Ἦχος Β΄.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ Ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ταῖς Μυροφόροις Γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος. Ἀλλὰ κραυγάσατε· ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι.

Δόξα.

Τῶν Μαθητῶν σου ὁ χορός, σὺν Μυροφόροις Γυναιξίν, ἀγάλλεται συμφώνως· κοινὴν γὰρ ἑορτὴν σὺν αὐτοῖς ἑορτάζομεν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς Ἀναστάσεως· καὶ δι' αὐτῶν φιλάνθρωπε Κύριε, τῷ λαῷ σου παράσχου, τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ Ἅδης καὶ ὁ θάνατος τέθνηκε. Νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυ-

σιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Μετὰ τὴν Β' Στιχολογίαν, Καθίσματα τῶν Ὁσίων.
Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Καταλείψαντες φθαρτά, Κόσμου ἡδέα νουνεχῶς, πρὸς τοὺς ἀγῶνας σταθερῶς τοὺς τῆς ἀσκήσεως, σοφοί, ψυχῇ ζεούσῃ ἐχωρήσατε καὶ ἐν τούτοις, ἄριστα σαυτοὺς ἐγγυμνασάμενοι, πρὸς ἀθλητικοὺς πόνους ἤχθητε, καὶ ἀσκητῶν ἱδρῶσι συγκεράσαντες, τὰ αἵματα ὑμῶν, τῆς ἀθλήσεως, διπλοῦς στεφάνους, παρὰ Κυρίου, ἐπαξίως εἰλήφατε.

Δόξα ἕτερον ἦχ. πλάγ. Β'. Τὸν Συνάναρχον Λόγον.

Τοῦ Κυρίου τοὺς Θείους Ὁσιομάρτυρας, ἐν χαρμοσύνοις ἐπαίνοις ἐγκωμιάσωμεν, χαίρετε λέγοντες αὐτοῖς, Κλέος τερπνότατον, Ἄθωνος ὄρους τοῦ σεπτοῦ, καὶ Σκήτεως ἡμῶν φρουροί, καὶ πολιοῦχοι τῷ ὄντι, πρεσβεύοντες τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Χαῖρε ἅγιον Ὄρος, καὶ Θεοβάδιστον. Χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε. Χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. Χαῖρε, ἀκήρατε κόρη, ἡ ἀπειράνδρως τεκοῦσα τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ψάλλεται ὁ Πολυέλεος. Εἶτα Ὑπακοή.

Μετὰ τὸ Πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ Σῶμα σου αἱ Γυναῖκες, Χριστὲ ὁ Θεός, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ, καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν· ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Εἶτα Κάθισμα τῶν Ὁσίων — Ἦχος πλάγ. δ'. Τὸ προσταχθὲν μυστικῶς

Πρὸς τοὺς ἀγῶνας ἀνδρικῶς καὶ τοὺς ἱδρῶτας τοὺς τῆς ἀσκήσεως χωρήσαντες Πατέρες, ἅπαν ἄχθος ἐρρίψατε κόσμου τε καὶ βίου, ἡδέων τε πάντων ἅμα τῶν γεηρῶν, καὶ πρὸς ἄθλη-



σιν αὖθις νεανικῶς, ἀπεκδύσασθε χαίροντες, κακίαν πᾶσαν ἐχθροῦ, ἀνδρείως θριαμβεύσαντες, καὶ στεφάνους ἐδέξασθε.

Δόξα Ἕτερον ἦχος γ'. Τὴν ὡραιότητα

Τὴν ἀεισέβαστον Μνήμην τιμήσωμεν, ᾠδαῖς καὶ ᾄσμασιν, ἐνθέοις σήμερον, τῶν τρεισκαίδεκα σεπτῶν Πατέρων αὐτοῖς ἐκβοῶντες, ὅσιοι τρισόλβιοι, καὶ στεῤῥοὶ ὁσιοάθλοι, Χριστῷ παριστάμενοι τῷ τῶν ὅλων δεσπόζοντι, αἰτεῖσθε τὴν εἰρήνην τῷ Κόσμῳ, καὶ ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Κατατιτρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγάπης τῆς σῆς Πανύμνητε, καὶ καταθέλγει με πυκνῶς, βοᾶν σοι εὐλογημένη, χαῖρε ἡλιόμορφον, Βασιλέως παλάτιον, Χαῖρε Θρόνε πύρινε, ἡ Θεὸν ἀναδείξασα, ἄνθρωπον φύσει τῷ τόκῳ σου, ἀνθρώπους δὲ Θεοὺς κατὰ χάριν.

Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου.
Ἀντίφωνον Α'.

Ἐν τῷ οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ· σῶσον με τῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλά, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου· καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι.

Δόξα καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τῷ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν Κτίσιν· Θεὸς γὰρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι, ἐκ τοῦ ἐχθροῦ ἅμα, καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν, μὴ παραδῷς Σῶτερ, τὸν σὸν δοῦλον· λέοντος τρόπον κατ' ἐμοῦ κινοῦνται, καὶ γὰρ οἱ ἐχθροί μου.

ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα καὶ νῦν.

Αγίῳ Πνεύματι, ζωαρχία καὶ γέρας· πάντα γὰρ τὰ κτιστά, ὡς Θεὸς ὢν δυναμοῖ, συντηρεῖ ἐν Πατρί, δι' Υἱοῦ δέ.

'Αντίφωνον Γ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐοίκασιν Ὄρει τῷ ἁγίῳ, οἱ οὐδαμῶς σαλεύονται, προσβολαῖς τοῦ Βελίαρ.

Εν ἀνομίαις χεῖρας αὐτῶν, μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες· οὐ γὰρ ἐᾷ Χριστός, τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ.

Δόξα καὶ νῦν.

Αγίῳ Πνεύματι, προσπηγάζει πᾶσα σοφία· ἔνθεν χάρις 'Αποστόλοις, καὶ τοῖς ἄθλοις καἄαστρέφονται Μάρτυρες, καὶ Προφῆται ὁρῶσι.

Προκείμενον

Εξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Στίχος : Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα. — Πᾶσα πνοή.

Εὐαγγέλιον τὸ Ἑωθινόν. — 'Ανάστασιν Χριστοῦ θεασάμενοι. — Τὸν Πεντηκοστὸν Ψαλμόν, καὶ μετὰ ψάλλομεν : Εἰς ἦχον Β'. — Δόξα ταῖς τῶν 'Αποστόλων. Καὶ νῦν, — Ταῖς τῆς Θεοτόκου.

Εἶτα ἦχος Β'.

Αναστὰς ὁ 'Ιησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν, τὴν αἰώνιον ζωὴν, καὶ μέγα ἔλεος.

Μετὰ δέ, τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου ...
— Εἶτα ἀρχόμεθα τῶν κανόνων.

Οἱ Κανόνες.

Ὁ 'Αναστάσιμος εἰς δ' καὶ τῆς Θεοτόκου. Β' — Καὶ τῶν Ἁγίων δύο Κανόνας. — Ὁ Πρῶτος ἦχος Β' καὶ ὁ Ἕτερος ἦχος δ'. Εἰς ὀκτὼ ἐν ὅλῳ Τροπάρια δεκατέσσαρα. — Ὁ 'Αναστάσιμος. Κανών. — Ὠδὴ α' ἦχος Β'.



Ὁ Εἱρμός·

Εν βυθῷ κατέστρωσε ποτέ, τὴν Φαραωνίτιδα, πανστρατιάν, ἡ ὑπέροπλος δύναμις· σαρκωθεὶς ὁ Λόγος δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος. ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Ο τοῦ Κόσμου Ἄρχων 'Αγαθέ, ὦ ἀπεγραψάμεθα, τῇ ἐντολῇ τῇ σῇ μὴ πειθαρχήσαντες, τῷ Σταυρῷ σου κέκριται· προσβαλὼν γάρ σοι ὡς θνητῷ περιπέπτωκε, τῷ τῆς ἐξουσίας κράτει σου, καὶ ἀσθενὴς διήλεγκται.

Λυτρωτὴς τοῦ γένους τῶν βροτῶν, καὶ τῆς ἀκηράτου ζωῆς ἀρχηγός, εἰς τὸν Κόσμον ἐλήλυθας· τῇ γὰρ 'Αναστάσει σου, διεσπάραξας τοῦ θανάτου τὰ σπάργανα, ἣν δοξολογοῦμεν ἅπαντες· ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Υπερτέρα πέφηνας, Ἁγνή, πάσης ἀοράτου τε καὶ ὁρατῆς, 'Αειπάρθενε κτίσεως· τὸν γὰρ Κτίστην τέτοκας, ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου· ᾧ σὺν παῤῥησίᾳ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου. — οὗ ἡ 'Ακροστ. Ἄδω τὸν αἶνον τῇ φερεσβίῳ Κόρῃ. — Ὠδὴ ά. Ἄτριπτον ἀσυνήθη.

Αὖλος πάλαι κλίμαξ, καὶ ξένως χερσωθεῖσα, ὁδὸς θαλάσσης, τὴν σὴν ἐδήλου γέννησιν Ἁγνή, ἣν ὑμνοῦμεν ἅπαντες, ὅτι δεδόξασται.

Δύναμις τοῦ Ὑψίστου, ὑπόστασις τελεία, Θεοῦ Σοφία, σωματωθεῖσα Ἄχραντε ἐκ σοῦ, τοῖς βροτοῖς ὠμίλησεν, ὅτι δεδόξασται.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

'Ο Εἱρμός.

'Ο α' Κανὼν τῶν 'Οσίων. — 'Ωδὴ α' ἦχος β'.
'Εν βυθῷ κατέστρωσε ποτέ.

Οὐρανόθεν σου Παμβασιλεῦ, ὕψιστε κατάπεμψον, τοῦ ταπεινοῦ φωτισμὸν διανοίας μου, χάριν καταυγάζοντα, καὶ ῥωννύοντα εὐφημῆσαι τοὺς 'Αγίους, σοῦ ὁσιοάθλους, οὓς αὐτὸς ἐδόξασας ὡς θέμιν ἦν.

Η τῶν ἄνω ἔφεσις σοφοί, θείων ἀπολαύσεων, τῶν γεηρῶν καὶ φθαρτῶν ὑμᾶς ἔπεισε, παριδεῖν τὸ μάταιον, καὶ ἀρνήσασθαι ἑαυτοὺς διὰ Κύριον, πόνους ἐνεγκόντες, ἀθλητῶν ὁσίων τε πανένδοξοι.

Ολικῶς τῷ πόθῳ πρὸς Θεόν, νεύσαντες ἀοίδιμοι, ἀθλητικῶς τὸν ἀγῶνα τελέσαντες, στέφει ἐκοσμήθητε, καὶ τοῖς ἄνω νῦν τάξεσι, συναγάλεσθε τοῖς 'Οσίοις καὶ Μάρτυσι, τὰ τῆς Μετανοίας φάρμακα, διδάσκοντες σωτήρια.

Θεοτοκίον.

Ανατείλας Ἥλιος ἐκ σοῦ, Μήτηρ ἀειπάρθενε, ὁ ἐκ Πατρὸς πρὸ αἰώνων ὁρώμενος, καὶ τῷ ὁρωμένῳ δέ, παραδόξως περιγραφόμενος σώματι, τῷ τῆς εὐσεβείας, φέγγει τοὺς ἀνθρώπους κατεφώτισε.

Ἕτερος Κανὼν τῶν 'Οσίων.

'Ωδή, α'. ἦχος δ'. 'Ανοίξω τὸ στόμα μου.

Τὴν γλῶτταν μου τράνωσον, καὶ τὴν καρδίαν καταύγασον, Θεοῦ Λόγε ἄναρχε, καὶ φωτισμὸν τοῦ νοός, νῦν μοὶ δώρησαι, ὑμνῆσαι ἐπαξίως τῶν 'Οσιοάθλων σου τὴν μνήμην σήμερον.

Ζωὴν τὴν αἰώνιον, ἐπιποθήσαντες Ὅσιοι, τὸν Κόσμον ἐλίπετε, καὶ τὰ ἐν Κόσμῳ τερπνά, καὶ τὸν Ἄθωνα οἰκήσατε προθύμως, ἀγῶνας πανόσιοι ἐπιδειξάμενοι.



Δόξα.

Γερόντιον καὶ Νικόδημον, Παῦλον δὲ καὶ Σωφρόνιον, Κοσμᾶν Μητροφάνην τε καὶ Διονύσιον, 'Ιλαρίωνα, Νεκτάριον Λουκᾶν τε, Νικήταν Μακάριον, Δαβὶδ τιμήσωμεν.

Καὶ νῦν Θεοτοκίον.

Οὐ κρύπτομεν Δέσποινα, τοῦ σοῦ ἐλέους τὴν ἄβυσσον, καὶ βρύσιν τὴν ἄφθονον, τῶν τεραστίων σου, καὶ τὸ πέλαγος τῶν εὐεργεσιῶν σου, ᾧ πᾶσι δι' ἔλεος πολὺ ἐξέχεας.

Καταβασία—'Ανοίξω τὸ στόμα μου.

'Ωδὴ γ'. 'Αναστάσιμος.—'Ο Εἱρμός.

»Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, 'Εκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη »ἡ καρδία μου.

Τροπάρια.

Η Κτίσις ἐν τῷ Πάθει σου, ἠλλοιοῦτο βλέπουσα, ἐν εὐτελεῖ προσχήματι ὑπ' ἀνόμων μυκτηριζόμενον, τὸν ἑδράσαντα πάντα θείῳ νεύματι.

Εκ χοὸς κατ' εἰκόνα με, τῇ χειρί σου ἔπλασας καὶ συντριβέντα πάλιν, δέ, εἰς χοῦν θανάτου δι' ἁμαρτίαν Χριστέ, συγκαταβὰς εἰς Ἅδην συνανέστησας.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν τῶν 'Αγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου· διὸ σὲ Θεοτόκον πίστει σέβομεν.

Τῆς Θεοτόκου—Τόξον συνετρίβη δυναστῶν.

Ο χρόνος ἐπέκεινα παντός, ὡς χρόνων Ποιητής, ἐκ σοῦ Παρθένε ἑκών, βρέφος πεπλαστούργηται.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Νηδὺν πλατυτέραν οὐρανῶν, ὑμνήσωμεν πιστοί, δι' ἧς 'Αδὰμ ἐν τοῖς οὐρανοῖς, χαίρων πεπολίτευται.

Τῶν 'Οσίων—Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Ο βίος ὁ ὑμῶν Πατέρες ὅσιοι, σεμνός τε συνέσει κεκοσμημένος, ὁ δὲ λόγος θείῳ ἅλατι, ἠρτυμένος ὑπῆρξε πανσεβάσμιοι.

Μακρύναντες τὸν νοῦν τοῦ Κόσμου τέλειον, καὶ ὅλον τὸν πόθον πρὸς τὸν Δεσπότην, ἀνατείναντες εἱλκύσατε, θείαν χάριν, Πατέρες οὐρανόφρονες.

Τοῦ Ἄθω τὰ τερπνὰ εὐώδη κρίνα τε, καὶ ῥόδα τοὺς δεκατρεῖς Πανοσίους, τοὺς τῆς Σκήτεως προβόλους τε ἐπαξίως ἐν ὕμνοις εὐφημήσωμεν.

Θεοτοκίον.

Ρητόρων τὸ διάτορον σεσίγηται, σοφῶν τε ἡ ἀγχίνοια ἐμωράνθη, τῇ κυήσει Θεόνυμφε, ἀπορούντων νοεῖν σου τὸ μυστήριον.

Ἕτερος τῶν 'Οσίων. Τοὺς σοὺς ὑμνολόγους.

Τετράδα ὁσίων κατὰ χρέος, τιμῶμεν Γερόντιον σοφόν, Σωφρόνιον τὸν πάνσοφον καὶ Μητροφάνην ἅμα τε, καὶ θεῖον Διονύσιον, τοὺς πολιούχους τῆς σκήτεως.

Χορείαν σεπτῶν ὁσιοάθλων, Λουκᾶν Ἱλαρίωνα Κοσμᾶν, Μακάριον Νεκτάριον, Νικήταν καὶ Νικόδημον, Παῦλον ἐνθέοις ἄσμασι, ἅμα Δαβὶδ ἐπαινέσωμεν.

Δόξα.

Αἰνέσαντες Κύριον ἐν ὕμνοις, Πατέρες τὸ πρῶτον ἐκ ψυχῆς, ἀθλήσει τοῦτον ὕστερον, ὡς θέμις ἐδοξάσατε, διὸ ὑμᾶς ἐδόξασεν ἐν οὐρανοῖς καὶ κατέστεψεν.

Καὶ νῦν Θεοτοκίον.

Η μόνη τὸν ἅγιον τεκοῦσα, καὶ μόνον παντὸς ἁγιαστήν, ἁγιασμὸν δίδου ἡμῖν, οἰκοῦσιν ἐν τῷ ὄρει σου, Χριστοῦ



λαόν τε εὐλόγησον, καὶ σοῦ τὴν ποίμνην περίσωζε.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κοντάκιον. 'Αναστάσιμον.—Τὰ ἄνω ζητῶν.

Ἀνέστης Σωτὴρ ἐκ τάφου Παντοδύναμε, καὶ Ἅδης ἰδών, τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ ἀνίσταντο, καὶ ἡ κτίσις ἰδοῦσα συγχαίρει σοι, καὶ 'Αδὰμ συναγάλλεται, καὶ κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

Καὶ ὁ Οἶκος ὁ 'Αναστάσιμος.

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, σὺ εἶ ἡ ἀνάστασις πάντων, καὶ ἡ ζωὴ τῶν βροτῶν, καὶ πάντας συνανέστησας, τοῦ θανάτου τὸ κράτος Σωτὴρ σκυλεύσας, καὶ τοῦ Ἅδου τὰς πύλας συντρίψας Λόγε, καὶ οἱ θνητοὶ κατιδόντες τὸ θαῦμα ἐθαύμαζον, καὶ πᾶσα Κτίσις συγχαίρει ἐν τῇ σῇ 'Αναστάσει φιλάνθρωπε, διὸ καὶ πάντες δοξάζομεν, καὶ ὑμνοῦμεν, τὴν σὴν συγκατάβασιν, καὶ Κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

Καὶ Κάθισμα. Τῶν 'Οσίων ἦχος πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς ἱδρῶτας καὶ πόνους ὑμῶν Σοφοί, νοερῶς θεωροῦντες πάντες ἡμεῖς, ἀπάσης πληρούμεθα, τὰς ψυχὰς κατανύξεως, καὶ πρὸς θείους ὕμνους, καὶ δόξαν καὶ αἴνεσιν, τοῦ Δεσπότου τῶν ὅλων, Πατέρες τρισόλβιοι, πόθῳ ἐγκαρδίῳ ἑαυτοὺς συγκινοῦμεν· ὑμᾶς νῦν γεραίροντες, ὡς Κυρίου θεράποντας ἀληθεῖς καὶ βοῶμεν ὑμῖν, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ἡμῶν.

Δόξα—Ἕτερον ἦχος α'. Χορὸς 'Αγγελικός.

Ὁσίων ὁ χορὸς καὶ Μαρτύρων ὁ Δῆμος, κοινὴν πανευκλεῶς, συγκροτοῦντες χορείαν, φαιδρῶς πανηγυρίζουσι, σὺν ἡμῖν πᾶσι σήμερον ἑορτάζουσι, τριῶν καὶ δέκα Πατέρων τὴν Ἱερὰν αὐτῶν Μνήμην, οὓς πίστει καὶ πόθῳ, πάντες γεραίρομεν.

**Καὶ νῦν. Θεοτοκίον ἦχος ὁ αὐτός. Τὸν Τάφον σου Σωτήρ.**

Μαρία ἡ τὰς τρεῖς, ἀνεκοῦστας ἑνώσεις, ἑνώσασα φρικτῶς, Παρθενίαν καὶ τόκον, Θεόν τε ἄνθρωπον, πίστιν τε καὶ πιστεύοντας, τοῖς ξενίζουσι, τούτοις καρδίαν ἀνθρώπου· ἡμᾶς ἕνωσον τῇ τοῦ υἱοῦ σου ἀγάπῃ καὶ σῶσον πανύμνητε.

**Ὠδὴ δ΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.**

»Ἐλήλυθας ἐκ Παρθένου, οὐ πρέσβυς, οὐκ ἄγγελος ἀλλ' αὐ»τὸς ὁ Κύριος σεσαρκωμένος, καὶ ἔσωσας, ὅλον με τὸν »ἄνθρωπον· διὸ κραυγάζω σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

**Τροπάρια.**

Παρίσταται, ὡς κριτὴς ὁ Θεός μου τῷ βήματι, οὐ κραυγάζων Δέσποτα, κρίσιν ἐνάγων τοῖς ἔθνεσιν, ἣν διὰ τοῦ πάθους σου, τῇ οἰκουμένῃ εἰργάσω σωτηρίαν Χριστέ.

Τῷ πάθει σου, τοῦ ἐχθροῦ αἱ ρομφαῖαι ἐξέλιπον· τῶν ὑπεναντίων δέ, ἐν τῇ εἰς Ἅδου καθόδῳ σου, πόλεις καθῃρέθησαν, καὶ τοῦ τυράννου τὸ θράσος καταβέβληται.

**Θεοτοκίον.**

Σὲ λιμένα, σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

**Τῆς Θεοτόκου.—Ἀκήκοα Κύριε, τὴν ἔνδοξόν σου.**

Ἰδοὺ ὑπερύψωται, τὸ θεῖον ὄρος οἴκῳ Κυρίου, ὑπεράνω τῶν Δυνάμεων ἡ Θεομήτωρ ἐμφανέστατα.

Νομίμων τῆς φύσεως, Παρθένε ἅπερ μόνη τεκοῦσα, τὸν δεσπόζοντα τῆς κτίσεως, κατηξιώθης θείας κλήσεως.

**Τῶν Ὁσίων—Ἐλήλυθας ἐκ Παρθένου.**

Νοήσαντες ὡς εἰκός, τοῦ Δεσπότου τὰ λόγια, σοφοὶ ὁσιόαθλοι, γῆς τυραννούντων ἐνώπιον, τρανῶς ἐκηρύξατε, Χριστοῦ τὸ πάντιμον, ὄνομα, διὸ καὶ ἠθλήσατε.



Ἐλπίσαντες ἐπὶ Κύριον ζῶντα εἰλήφατε, χάριν ἐπουράνιον, ὑπομονῆς ὁσιόαθλοι, ὅθεν εἰς οὐράνιον χαρὰν εἰσήλθατε ἐν σκηναῖς αἰωνίοις ἡδόμενοι.

Νεκρώσαντες τῆς σαρκὸς τὰς κινήσεις μακάριοι, τὰ πάθη τεφρώσαντες, τῇ ἐπιπόνῳ ἀσκήσει τε, ζωῆς ἠξιώθητε τῆς ἀνωλέθρου, καὶ μακαρίας λήξεως.

**Θεοτοκίον.**

Λιμένα σε σωτηρίας καὶ ὅρμον γαλήνιον, καταφυγὴν ἄχραντε, καὶ σκέπην πάντες κεκτήμεθα, σὺ γὰρ ταῖς πρεσβείαις σου ἐκ πάσης θλίψεως, σώζεις τοὺς σὲ καταφεύγοντας.

**Ἄλλος. Τῶν Ὁσίων—Τὴν ἀνεξιχνίαστον.**

Τὴν ὑπὲρ κατάληψιν τοῦ Ἰησοῦ, ὅσιοι ἐμφρόνως ταπείνωσιν ταπεινωθέντες μιμησάμενοι σοφοί, πρὸς ἄθλησιν ἑκούσιον, ἑαυτοὺς ἀφόβως ἐδώκατε.

Ῥίψαντες τὰ πρόσκαιρα ὡς νουνεχεῖς, ἔμποροι Πατέρες τρισόλβιοι, τὸν μαργαρίτην τὸν πολύτιμον Χριστόν, πανσόφως ἐπλουτήσατε, ὅθεν βασιλείας ἐτύχετε.

**Δόξα.**

Ἡ Θεοπρομήτορος Σκήτη σεπτή, χαῖρε ἐπὶ σοῖς νῦν βλαστήμασι, τριῶν καὶ δέκα, τῶν ὁσίων Ἀθλητῶν, ἐκ σοῦ γὰρ ἐξεφύησαν, καὶ τὴν Ἐκκλησίαν κατηύφραναν.

**Καὶ νῦν Θεοτοκίον.**

Ἄδομεν οἰκεῖον σοι Μήτηρ Θεοῦ, ὕμνον οἱ σοὶ δοῦλοι κραυγάζοντες, χαῖρε Παρθένε, χαῖρε ἄχραντε σεμνή, χαῖρε Θεοῦ παλάτιον, χαῖρε σκηνὴ δόξης Θεόνυμφε.

**Καταβασία.—Τὴν ἀνεξιχνίαστον.**

**Ὠδὴ ε΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.**

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας, Χριστὲ ὁ Θεός, διὰ σοῦ γὰρ δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου,

ἐκ νυκτὸς ἀγνωσίας προσαγωγὴν ἐσχήκαμεν.

Τροπάρια.

Ὡς κέδρος Χριστέ, τῶν ἐχθρῶν τὸ φρύαγμα συνέτριψας, ἑκουσίως Δέσποτα, ἐν τῇ κυπαρίσσῳ ὡς ηὐδόκησας, καὶ τῇ πεύκῃ καὶ κέδρῳ, σαρκὶ συνανυψούμενος.

Ἐν λάκκῳ Χριστέ, κατωτάτῳ ἔθεντό σε, ἄπνουν νεκρόν· ἀλλ' οἰκείῳ μώλωπι, ἐπιλελησμένους τραυματίας Σωτήρ, τοὺς ἐν τάφοις ὑπνοῦντας, σεαυτῷ συνεξανέστησας.

Θεοτοκίον.

Δυσώπει τὸν σόν, Υἱὸν καὶ Κύριον, Παρθένε Ἁγνή, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξεναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Τῆς Θεοτόκου—Ὁ ἄνθραξ τῷ Ἠσαΐᾳ προφθείς.

Νεφέλαι τῆς εὐφροσύνης, γλυκασμὸν ῥάνατε, τοῖς ἐπὶ γῆς, ὅτι παιδίον δέδοται, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν.

Τῷ θείῳ καὶ τῷ σαρκίῳ μου, τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς σωματωθεὶς ὁ Ὕψιστος.

Τῶν Ὁσίων—Μεσίτης Θεοῦ.

Πολλὴν πρὸς Θεόν, παῤῥησίαν εὕρατε Πατέρες σοφοί, δι' αὐτῶν γὰρ θάνατον, ἑκουσίως ὄντως ὑπεμείνατε, καὶ ζωὴν τὴν ἀγήρω ἀξίως ἐκληρώσασθε.

Ὢ θαῦμα φρικτόν! πῶς πηλίνη φύσις, ἀοράτοις ἐχθροῖς, προσπλακεῖσα ἔστησε, νίκης κατ' αὐτῶν μεγάλα τρόπαια, καὶ τῆς νίκης στεφάνους, εὐκλεῶς ἀνεδύσατο.

Πατέρων σεπτῶν, τριῶν καὶ δέκα τὴν Μνήμην, νῦν τὴν σεπτήν, εὐλαβῶς τελέσωμεν, τούτους ἐπαξίως μακαρίζοντες, ὡς ἡμῶν πολιούχους, καὶ πρεσβευτὰς πρὸς Κύριον.



Θεοτοκίον.

Ἐλέους πηγή, Θεοτόκε πέφυκας, τεκοῦσα ἐν γῇ ἐλέους τὴν ἄβυσσον Χριστὸν τὸν τὴν φύσιν ἐλεήσαντα, τὴν οἰκτρὰν τῶν ἀνθρώπων, διὸ ἡμᾶς ἐλέησον.

Ἄλλος τῶν Ὁσίων—Ἐξέστη τὰ σύμπαντα.

Ῥεόντων τὸ ἄστατον, ἐμφρόνως ἀποσάμενοι, σὺν τῇ ἀποθέσει τούτων πάντων, συνεξεδύθητε τὸν φθειρόμενον, ἄνθρωπον σοφοὶ τὸν παλαιόν, τὸν δ' ἀνακαινούμενον, Ἰησοῦν ἐνεδύθητε.

Ζωὴν τὴν αἰώνιον, ποθήσαντες πανόσιοι, προθύμως εἰς θάνατον τὸ σῶμα παραδεδώκατε, ἀκλονήτῳ φρενί, καὶ ηὕρατε νῦν ἐν οὐρανοῖς, δόξαν ἀνεκλάλητον, σὺν ἀγγέλοις χορεύοντες.

Δόξα.

Τριὰς ἀδιαίρετε, λιταῖς κλεινῶν ὁσίων σου λύτρωσαι ἐκ πάσης ἐπηρείας, τοῦ ἀλλοτρίου καὶ καθοδήγησον, εἰς ὁδὸν εὐθεῖαν καὶ ἡμᾶς, τοὺς ἀχρείους δούλους σου· καὶ κολάσεως λύτρωσαι.

Καὶ νῦν Θεοτοκίον.

Ἰσχὺν καὶ ὀχύρωμα, ὁσιόαθλοι ἔχοντες, ἁγνὴ κατὰ τῆς πλάνης, ἀγαρηνῶν προσπλακέντες τῶν δυσμενῶν, τὰ τρόπαια ἤραντο λαμπρά, καὶ σὲ ἀνεκήρυξαν, Θεοτόκον πανάμωμον.

Καταβασία: Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς'. Ἀναστάσιμος. Ὁ Εἱρμός.

»Ἐν ἀβύσσῳ πταισμάτων, κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς »ὁ Θεός με ἀνάγαγε.

Τροπάρια.

Ὡς κακοῦργος ὁ Δίκαιος κέκριται, καὶ μετὰ ἀνόμων τῷ ξύλῳ προσήλωται, τοῖς ὑπευθύνοις ἄφεσιν, τῷ οἰκείῳ δωρούμενος αἵματι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δι' ἑνὸς μὲν ἀνθρώπου τοῦ πρώτου Ἀδάμ, πάλαι εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος, καὶ δι' ἑνὸς Ἀνάστασις, τοῦ Υἱοῦ τοῦ Θεοῦ πεφανέρωται.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Τῆς Θεοτόκου—Ἦχος ῥημάτων δεήσεως.

Φύσις ἀνθρώπων δουλεύουσα, τῇ ἁμαρτίᾳ Δέσποινα ἁγνή, διὰ σοῦ ἐλευθερίας ἔτυχε· σὸς γὰρ Υἱὸς ὡς ἀμνὸς ὑπὲρ πάντων τέθυται.

Ἐπιβοώμεθα πάντες, σὲ τὴν ἀληθῆ Μητέρα τοῦ Θεοῦ, παροργίσαντας οἰκέτας λύτρωσαι· μόνη γὰρ πρὸς τὸν Υἱόν, παρρησίαν κέκτησαι.

Τῶν Ὁσίων—Ἐν ἀβύσσῳ πταισμάτων.

Ἀνενδότως Θεῷ συγγινόμενοι, ταῖς μαρμαρυγαῖς ταῖς ἐκεῖθεν πανόλβιοι, στύλοι φωτὸς ἐδείχθητε, τοῦ Λαοῦ τοῦ πιστοῦ προηγούμενοι.

Νοερῶς τοῖς ἀΰλοις μιγνύμενοι, Ἀγγέλοις Πατέρες αὐτοῖς συνηνέσατε, τὴν τριφαῆ Θεότητα, πέντε σεπτοὶ ἐν γῇ οὐρανόφρονες.

Ἐν βασάνοις σοφοὶ ἐχαλκεύσατε, σῶμα τὸ πολύαθλον καὶ τοῦ τὸ δίστομον, μάχαιραν ἀπεργάσατε, δι' ἧς κάρας ἐχθρῶν ἐξεκόψατε.

Θεοτοκίον.

Χρεολύτης τῆς Εὔας γεγένησαι, σὺ τὴν ὀφειλὴν τὴν ἐκείνης γὰρ πάναγνε, τῷ ἐκ σοῦ ἀνατείλαντι, Ἀδὰμ νέῳ πλουσίως ἀπαίτησας.



Ἄλλος τῶν Ὁσίων—Τὴν θείαν ταύτην καὶ πάντιμον.

Στενὴν ὁδὸν διηνύσατε, ἀσκήσεως ἐν ὄρει τοῦ Ἄθωνος, ὁμολογίᾳ δέ, ἐπὶ τὸ τέλος πανόλβιοι, ἐστέφθητε θανέντες ὑπὲρ τῆς πίστεως.

Λουκᾶν Κοσμᾶν Ἱλαρίωνα, Νικήταν καὶ Νεκτάριον Παῦλον δε, καὶ τὸν Νικόδημον, ἅμα Δαβὶδ τε Μακάριον, ἐννέα ὁσιοάθλους, ὕμνοις τιμήσωμεν.

Δόξα.

Γερόντιον καὶ Σωφρόνιον, καὶ θεῖον Διονύσιον ᾄσμασι, καὶ Μητροφάνην τε, σοφοὺς ὁμοῦ τοὺς Θεόφρονας, τοὺς τέσσαρας ὁσίους καταγεραίρομεν.

Καὶ νῦν Θεοτοκίον.

Τὴν θείαν στάμνον καὶ τράπεζαν, τὸν ἄρτον τῆς ζωῆς τὴν βαστάσασαν, τὴν ἀγεώργητον χώραν, τὸ ὄρος τὸ ἅγιον, τὴν Θεοτόκον Κόρην, ὕμνοις τιμήσωμεν.

Καταβασία.—Τὴν θείαν ταύτην.

Κοντάκιον—Ἡ Παρθένος σήμερον.

Ἐν τῇ Σκήτῃ ὅσιοι, τῇ τῆς Προμήτορος Ἄννης, ἐν ἀσκήσει ζήσαντες, οὐρανοβάμονες ὄντως, ὤφθητε, δεκατρεῖς ὄντες σεπτοὶ Πατέρες. Ὅθεν νῦν, ὑμῶν τὴν Μνήμην ἐπιτελοῦμεν, κατὰ χρέος ὡς πλουτοῦντες· πρέσβεις ἡμῶν πρὸς τὸν Κύριον.

Ὁ Οἶκος.

Τὸν κόσμον ἀφέντες, εἰς τὸ Ὄρος ἐδράμετε, καὶ τοῦτο τὴν εἰς οὐρανὸν ἐποιήσατε κλίμακα, νηστείᾳ καὶ ἐγκρατείᾳ τὸ σῶμα ἐκκαθάραντες παθῶν, καὶ ἀκηλίδωτον τῷ Θεῷ προσενέγκαντες. Ὅθεν λαμπρυνθέντες ἐν πόνοις ἀσκήσεως, καὶ ἐν αἵμασι τῆς ἀθλήσεως, Χριστῷ παρίστασθε νῦν διπλοῖς στεφάνοις ἐγκοσμούμενοι· Ὅθεν κατὰ χρέος ὑμᾶς τιμῶμεν πανόσιοι, ὡς πλουτοῦντες πρέσβεις ἡμῶν πρὸς Κύριον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΣΥΝΑΞΑΡΙΟΝ

**Τῇ αὐτῇ ἡμέρα, Κυριακῇ Τρίτῃ τοῦ Ματθαίου.**

Μνήμην ἐτήσιον ἑορτάζομεν, τῶν ὁσίων Πατέρων ἡμῶν, τῶν ἐν τῇ καθ' ἡμᾶς Ἱερᾷ Σκήτῃ, τῆς Θεοπρομήτορος Ἁγίας Ἄννης Λαμψάντων, Ὁσίων μὲν τεσσάρων. Γεροντίου, Σωφρονίου. Μητροφάνους καὶ Διονυσίου, Ὁσιοάθλων δὲ ἐννέα. Μακαρίου, Νικοδήμου, Νεκταρίου, Κοσμᾶ, Λουκᾶ, Ἱλαρίωνος, Νικήτα, Δαβίδ, καὶ Παύλου.

**Στίχοι.—Εἰς τοὺς Ὁσίους.**

Σὺν Γεροντίῳ Σωφρόνιον ἀξίως, Μητροφάνην τε ἅμα Διονυσίῳ.

Τετράδα τιμῶ τους τοῦ Ἄθω ὁσίους, τὴν πανέντιμον χορείαν ἐπαξίως.

**Εἰς τοὺς Ὁσιομάρτυρας.**

Τὸν Μακάριον, Κοσμᾶν σὺν Νεκταρίῳ, Λουκᾶν Ἱλαρίωνα, Νικόδημον Παῦλον.

Ἅμα Νικήταν Δαβὶδ ὁσιοάθλους, Σεπτὴν ἐννάδα ὡς χρεῶν ὕμνοις μέλπω.

**Ὠδὴ ζ΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.**

» Ἀντίθεον πρόσταγμα παρανομοῦντος, τυράννου μετάρσιον τὴν φλόγα ἀνερρίπισε· Χριστὸς δὲ ἐφήπλωσε, Θεοσεβέσι
» Παισί, δρόσον τὴν τοῦ Πνεύματος· ὁ ὢν εὐλογημένος καὶ
» ὑπερένδοξος.

**Τροπάρια.**

Οὐκ ἔφερες Δέσποτα δι' εὐσπλαγχνίαν, θανάτῳ τὸν ἄνθρωπον, καθορᾶν τυραννούμενον· ἀλλ' ἦλθες καὶ ἔσωσας ἰδίῳ αἵματι, ἄνθρωπος γενόμενος, ὁ ὢν εὐλογημένοςκαὶ ὑπερένδοξος.



Ἰδόντες σὲ ἔπτηξαν ἠμφιεμένον, στολὴν ἐκδικήσεως, οἱ πυλωροὶ τοῦ Ἅδου Χριστέ· ἀγνώμονα τύραννον, οἰκέτην Δέσποτα, ἦλθες γὰρ χειρώσασθαι, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

**Θεοτοκίον.**

Ἁγίων Ἁγίαν σὲ κατανοοῦμεν, ὡς μόνην κυήσασαν Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ Τόκῳ σου.

**Τῆς Θεοτόκου—Ρήτορες ἀνεδείχθησαν Παῖδες·**

Ἑώρα ἐν νυκτὶ Ἰακὼβ μέν, ὡς ἐν αἰνίγματι, Θεὸν σεσαρκωμένον· ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσιν. Ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σύμβολα τῆς ἐν σοὶ ἀπορρήτου, προκαταγγέλων συμπλοκῆς, τῷ Ἰακὼβ προσπαλαίει· δι' ἧς ἑκὼν ἡνώθη ἀνθρώποις Ἁγνή, ὁ ὑπέρθεος τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

**Τῶν Ὁσίων—Ἀντίθεον πρόσταγμα.**

Ἰσχὺν ἡμῖν δεδώκατε, παρὰ τοῦ μόνου Θεοῦ παναοίδιμοι, οἷα πιστοῖς θεράποσι, ὀλέσαι τὴν δύναμιν τοῦ πολεμήτορος, Πατέρες τρισόλβιοι, διὸ στεφάνοις νίκης ἐγκαλλωπίζεσθε.

Οὐκ ἴσχυσαν βάσανοι, οὐ θηριώδεις ὁρμαὶ τῶν βαρβάρων τε, οὐ ζωὴ οὐδὲ θάνατος, ἀγάπης τοῦ κτίσαντος χωρίσαι ὅσιοι, ὑμᾶς γὰρ ἐγκάρδιος σφοδρῶς, πρὸς τὸν Δεσπότου πόθον ἠρέθιζε.

Ὑμνήσαντες Κύριον ἐν τῷ δὲ Βίῳ, Πατέρες πανόλβιοι, ἐκ γῆς ἀναβεβήκατε, ναὸν εἰς οὐράνιον τοῦ ἀναμέλπειν ἀεί, ὕμνον τὸν τρισάγιον, φωναῖς ἀδιαλείπτοις μακαριώτατοι.

**Θεοτοκίον.**

Ἐσκήνωσεν ἄχραντε ὁ Θεὸς Λόγος, ἐν σοὶ καὶ ἀνέπλασεν, τὸν πρὶν φθαρέντα ἄνθρωπον, διὸ σὲ δοξάζομεν αἱ γε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

νεῖ τῶν βροτῶν, καὶ τῶν ἀσωμάτων οἱ χοροί, ὡς Θεοτόκον θεοχαρίτωτε.

Ἄλλος τῶν Ὁσίων — Οὐκ ἐλάτρευσαν.

Οἱ πανόσιοι, Πατέρες συνεκάλεσαν, τρεῖς καὶ δέκα ἡμᾶς, διὸ ὦ φιλέορτοι δεῦτε συνδράμωμεν, προσπτυσσόμενοι, τὰ τούτων ἐκτυπώματα, ἀρυόμενοι τὴν χάριν.

Ἐποθήσατε, Θεὸν ὡς θέμις πάνσοφοι, ἐμελετήσατε, τὸν θεῖον νόμον αὐτοῦ, καὶ τοῦτον πληρώσαντες διὰ τοῦ αἵματος, ἐνεδείξατε, ἀγάπην ὑπερβάλλουσαν, καὶ τιμᾶσθε αἰωνίως.

Δόξα.

Τὰ τῆς σκήτεως, σεπτῆς Θεοπρομήτορος, τερπνὰ ἐκλόγια θείους Πατέρας ἡμῶν τιμήσωμεν ἄσμασιν, πανηγυρίζοντες, ὡς πρεσβεύοντας, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον, ἱλασμὸν ἡμῖν δοθῆναι.

Καὶ νῦν Θεοτοκίον.

Ὑπερένδοξε, τὸ ὄρος ἡ θελήσασα, τὸ ἐν ἡμῖν κατοικεῖν, νῦν τὰς εὐχὰς ταπεινῶν, ὑπόδεξαι Δέσποινα, τῶν ἀνυμνούντων σε, καὶ περίσωζε, πάσης δεινῆς κακώσεως, ταύτην σου τὴν κληρονομίαν.

Καταβασία.—Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.

»Κάμινος ποτέ, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέρισε, τῷ Θείῳ προστάγματι, τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα, ψάλλοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάρια.

Αἵματι Χριστέ, τῷ σῷ πεφοινιγμένην, τὴν τῆς σαρκός σου καθορῶντα στολήν, ἐν τρόμῳ ἐξίσταντο, τὴν πολλὴν μακροθυμίαν σου, τὰ τῶν Ἀγγέλων τάγματα κράζοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.



Σύμου τὸ θνητόν, ἐνέδυσας Οἰκτίρμων, ἀθανασίαν τῇ ἐγέρσει σου· διὸ ἀγαλλόμενος, εὐχαρίστως ἀναμέλπει σοι, ὁ ἐκλεκτὸς λαὸς Χριστὲ κράζων σοι· Κατεπόθη ὄντως εἰς νῖκος ὁ θάνατος.

Θεοτοκίον.

Σὺ τὸν τοῦ Πατρός, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ Πάναγνε, ὅθεν σὲ σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

Τῆς Θεοτόκου—Ἰνδάλματος χρυσοῦ.

Ὠράθη ἐπὶ γῆς, διὰ σοῦ καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ὁ ἀγαθότητι ἀσύγκριτος, καὶ δυνάμει, ᾧ μελῳδοῦντες πάντες οἱ πιστοὶ κραυγάζομεν· Ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Κυρίως σὲ Ἁγνήν, καταγγέλοντες δοξάζομεν Θεοτόκε· σὺ γὰρ τὸν ἕνα ἀπεκύησας, τῆς Τριάδος σεσαρκωμένον, ᾧ σὺν τῷ Πατρί, καὶ Πνεύματι πάντες μελῳδοῦμεν· Ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Τῶν Ὁσίων—Κάμινος ποτέ.

Ὅλος γλυκασμός, ὑπάρχεις Ἰησοῦ μου, ὅλος ἀκόρεστός τε ἔφεσις, τοῦ γὰρ Θείου ἔρωτος, τῷ γλυκεῖ σου τιτρωσκόμενοι, βέλει Πατέρες Ὅσιοι, ἔλιπον τὰ ἡδέα, πάντα καὶ σοὶ ἠκολούθησαν.

Ὄλβον κοσμικὸν μισήσαντες Πατέρες, τὸν δὲ οὐράνιον ποθήσαντες, τὸν πάντοτε μένοντα, καὶ μηδόλως ἐκκενούμενον, κλῆρον νῦν ἀπηλείφατε, ὅσιοι ἐν ὑψίστοις, τὴν αἰωνίζουσαν εὔκλειαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Υμνήσαντες πάνσοφοι Τριάδα τὴν ἁγίαν, ἐν γῇ Πατέρες οὐρανόφρονες, εἰς ὕψος ἐπήρθητε, πρὸς ναὸν τὸν ἐπουράνιον, ᾄδοντες τὸν τρισάγιον, πάντοτε σὺν ἀγγέλοις, ὑπὲρ ἡμῶν ἐντυχάνοντες.

Θεοτοκίον.

Ἄλλην κιβωτὸν καὶ οἶκον πλήρη δόξης, Θεοῦ τῶν ὅλων σὲ γινώσκομεν, σὲ γὰρ ἐξελέξατο, γενεῶν θεοχαρίτωτε, ἐκ πασῶν ὁ ὑπέρθεος, καὶ ἐν σοὶ κατοικῆσαι θεοπρεπῶς ἠρετήσατο.

Ἄλλος τῶν Ὁσίων.—Παῖδας εὐαγεῖς.

Ὡς ὥριμοι βότρυες Πατέρες ληνοῖς τοῖς τοῦ μαρτυρίου συνθλιβόμενοι, οἶνον κατανύξεως, τοῖς πιστοῖς ἐβλύσατε, οὗπερ νῦν ἐμφορούμενοι Χριστῷ κραυγάζομεν· σὲ πάντες εὐλογοῦμεν οἰκτίρμον, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Μετάρσιοι ὅσιοι δειχθέντες, ἐκ γῆς πρὸς τὸν οὐρανὸν μετατιθέμενοι, ὥσπερ θείῳ ἅρματι, ὑμῶν θείῳ αἵματι, περιφανῶς χρησάμενοι, ὁσιομάρτυρες, ἐν τόποις φωτεινοῖς, ἔνθα ἦχος τῶν ἑορταζόντων, οἰκεῖτε αἰωνίως.

Δόξα.

Μνήμην ἐκτελοῦντες τῶν ὁσίων, τοὺς πόνους τοὺς ἐναρέτους μιμησώμεθα, οὓς αὐτοὶ ὑπέμειναν, δρόμον διανύσαντες, πρὸς παραδείσου εἴσοδον τὴν ἐπιφέρουσαν, τοὺς Κύριον φιλοῦντας ἐν πίστει, καὶ εὐαρεστοῦντας, ἐν ἔργοις Θεαρέστοις.

Καὶ νῦν Θεοτοκίον.

Ἄνωθεν ἡμᾶς μυσταγωγοῦσι, κρυφίως τὰ Σεραφὶμ ἀΰλοις στόμασι, μίαν κυριότητα, σέβειν τρισυπόστατον· ἣν ὁ Υἱός σου πάναγνε τρανῶς ἐδίδαξε, Πατρὸς ἀποκαλύψας τὴν κλίσιν, καὶ αὐτοῦ Υἱοῦ τε καὶ Πνεύματος Ἁγίου.



Καταβασία—Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.

»Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι » συναγαγεῖν τὰ ἐσκορπισμένα· διὸ τὴν πανύμνητον, Θεοτό» κον μεγαλύνομεν.

Τροπάρια.

Ὡς ἐν Παραδείσῳ φυτευθέν, ἐν τῷ Κρανίῳ Σωτήρ, τὸ τρισόλβιον ξύλον, τοῦ σοῦ ἀχράντου Σταυροῦ, αἵματι καὶ ὕδατι θείῳ, ὡς πηγῆς τῆς θείας πλευρᾶς σου Χριστὲ ἀρδευόμενον, τὴν ζωὴν ἡμῖν ἐξήνθισε.

Καθεῖλες δυνάστας, σταυρωθεὶς ὁ Παντοδύναμος, καὶ τὴν κάτω κειμένην, ἐν τῇ τοῦ Ἅδου φρουρᾷ, φύσιν τῶν ἀνθρώπων ὑψώσας, τῷ πατρικῷ ἐνίδρυσας θρόνῳ· μεθ' ἧς σὲ ἐρχόμενον, προσκυνοῦντες μεγαλύνομεν.

Τριαδικόν.

Μονάδα τρισάριθμον, Τριάδα ὁμοούσιον, ὀρθοδόξως ὑμνοῦντες, πιστοὶ δοξάσωμεν, ἄτμητον, ὑπέρθεον φύσιν, τρισοφεγγῆ, ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμπουσαν.

Τῆς Θεοτόκου—Ὅλος ὑπάρχεις ἔφεσις.

Ῥάβδος ἰσχύος δέδοται, φύσει τῇ σαθρᾷ, Λόγος Θεοῦ, ἐν μήτρᾳ σου Ἁγνή, καὶ ταύτην ἀνέστησε πρὸς Ἅδην ὀλισθήσασαν· διὸ σὲ Πάναγνε, ὡς Θεοτόκον μεγαλύνομεν.

Ἣν ἠρετήσω Δέσποτα, δέξαι συμπαθῶς, πρέσβυν Μητέρα, σὴν ὑπὲρ ἡμῶν, καὶ σοῦ τῆς χρηστότητος, τὰ σύμπαντα πλησθήσονται· ἵνα σὲ ἅπαντες ὡς εὐεργέτην μεγαλύνωμεν.

Τῶν Ὁσίων—Ἀνάρχου Γεννήτορος.

Τὰ στίφη συνέλθετε, τῶν Μοναστῶν γηθόμενοι, χαρμοσύνως τελέσαι φαιδρὰν πανήγυριν, δέκα καὶ τριῶν ὁσίων

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Πατέρων, συνασκητῶν, τῆς Σκήτεως ταύτης, ἡμῶν πολιούχων τε, οὓς ἐν ὕμνοις μακαρίζομεν.

Ἐν θέοις ἐν ἄσμασι, πνευματικῶς ὑμνήσωμεν, τῶν Ἁγίων τὴν θείαν Πατέρων σήμερον, τῶν Ὁσιοάθλων ὁσίων τε τῶν σοφῶν, τὴν Μνήμην τελοῦντες, αὐτῶν ὅπως τύχωμεν σωτηρίας ταῖς εὐχαῖς αὐτῶν.

Σκηναῖς οὐρανίαις νῦν, ὁ πλαστουργὸς κατῴκησε, τοὺς ὁσίους Πατέρας ὡς ἀθλητὰς αὐτοῦ, ἔνθα τῶν ἁγίων οἱ δῆμοι, καὶ ἡ τρυφή, ἡ ἄληκτος πέλει, εὐχαῖς αὐτῶν Κύριε, καὶ ἡμᾶς σῶσον δεόμεθα.

Θεοτοκίον.

Νυμφὼν ἐχρημάτισας, τῆς ὑπὲρ νοῦν σαρκώσεως, τῆς τοῦ Λόγου Παρθένε Θεογεννῆτορ Ἁγνή, περιβεβλημένη ἐν δόξῃ τῶν ἀρετῶν, καὶ πεποικιλμένη, διὸ σὲ πανάμωμον, Θεοτόκον καταγγέλλομεν.

Ἄλλος τῶν Ὁσίων—Ἅπας γηγενής.

Αἴνεσιν Θεῷ προσφέρομεν σήμερον, ἐπὶ τῇ Μνήμῃ ὑμῶν καὶ πανηγυρίζομεν, ὁσιομάρτυρες πανναοίδιμοι, καλῶς γὰρ ἐκτελέσαντες, τὸν δρόμον πάνσοφοι, καὶ τὴν πίστιν ἀσφαλῶς τηρήσαντες, τοὺς τῆς νίκης στεφάνους εἰλήφατε.

Ὅρμῳ γαληνῷ, σοφοὶ προσωρμίσθητε, ὑπὲρ νηξάμενοι τῶν βασάνων πέλαγος, καὶ νῦν τοῖς θείοις ὁσιομάρτυσι, καὶ τοῖς ἁγίοις ἅπασι φαιδρῶς παρίστασθε, τῷ Κυρίῳ, λύσιν ἐξαιτούμενοι, τῶν πταισμάτων τοῖς πόθῳ τιμῶσιν ὑμᾶς.

Δόξα Τριαδικόν.

Ἄναρχε Τριάς, τοὺς Θεολογοῦντας σὲ σκέπε καὶ φύλαττε, ταῖς σεπταῖς δεήσεσι, τῶν σῶν ὁσίων ὁσιοάθλων τε, καὶ σὺν αὐτοῖς ἀξίωσον τῆς Βασιλείας τυχεῖν, σῷ ἐλέει ὧν περ τὰ μνημόσυνα, ἐκτελοῦμεν γηθόμενοι σήμερον.



Καὶ νῦν Θεοτοκίον.

Ἄπαν τὸ σεπτόν, καὶ σὸν ἐνδιαίτημα, Θεοχαρίτωτε, ὄρος τὸ ἡμέτερον, ὑπὸ σὴν σκέπην ἀνατιθέμεθα, ταῖς ἱκεσίαις Δέσποινα, ὁσιοάθλων σου καὶ ὁσίων τῶν συνασκητῶν ἡμῶν, καὶ εὐχαῖς σου διαφύλαττε.

Καταβασία.—Ἅπας γηγενής.

Ἐξαποστειλάριον.—Ἀναστάσιμον.

Ὅτι Χριστὸς ἐγήγερται, μήτις διαπιστείτω· ἐφάνη τῇ Μαρίᾳ γάρ· ἔπειτα καθωράθη, τοῖς εἰς ἀγρὸν ἀπιοῦσι· Μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἕνδεκα, οὓς βαπτίζειν ἐκπέμψας, εἰς οὐρανούς, ὅθεν καταβέβηκεν ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα πλήθεσι τῶν σημείων.

Τῶν Ὁσίων—Γυναῖκες ἀκουτίσθητε.

Ψυχὰς ὁμοῦ καὶ σώματα, Χριστῷ ἀφιερώσατε, Ὁσιομάρτυρες θεῖοι, ἐννεάριθμοι τῷ Κυρίῳ, ζέοντες ὑπουργήσαντες προδόντες δὲ τὰ σώματα, εἰς βάσανα πολύπλοκα, καὶ θάνατον ἑκουσίως, διὰ Χριστὸν Θεοφόροι.

Ἕτερον τῶν Μαθητῶν ὁρώντων σε.

Τῶν ἀσκητῶν τετράριθμον τὴν χορείαν, δεῦτε νῦν ἑορτάσωμεν θείαν Μνήμην, νέμουσι γὰρ ῥῶσιν ψυχῶν σωμάτων, καὶ θεραπείαν ἄμισθον, τοῖς ἐκτελοῦσιν ἐκ πόθου, ταύτην καὶ τούτους τιμῶσι.

Θεοτοκίον.—Ἐν Πνεύματι τῷ Ἱερῷ

Χαῖρε παλάτιον τερπνόν, χαῖρε θρόνε Κυρίου, χαῖρε σκῆπτρον πανθαύμαστον, χαῖρε κούφη νεφέλη, χρυσοῦν θυμιατήριον, χαῖρε Μήτηρ ἄχραντε, καὶ βασιλέως καθέδρα, χαῖρε εὔδιε λιμήν, καὶ προστάτις ἁπάντων, Θεοκυῆτορ Μαρία.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. η΄. καὶ Ψάλλομεν

Στιχηρὰ. Ἀναστάσιμα δ΄. καὶ τῶν Ὁσίων δ΄.

**Ἀναστάσιμα ἦχος Β΄.**

Πᾶσα πνοή, καὶ πᾶσα κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν Θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ Νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ Στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα· διατὶ γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν Πέτραν τῆς ζωῆς, ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε. Ἄγγελος ἐκάθισε εἰς τὸν λίθον τοῦ μνήματος· αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ Κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε.

Ἄγγελος μὲν τὸ χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν· Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. Ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων· ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. Διὸ βοῶμεν σοι· Εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

**Τῶν Ὁσίων ἦχος πλ. δ΄.**

**Ὢ τοῦ Παραδόξου Θαύματος.**

Ἄπαν φιλεόρτων σύστημα, ἄνθη ἀσμάτων τερπνῶν ἐκ λειμώνων συλλέξαντες, τοῦ Ἁγίου Πνεύματος, λιγυρόπνοον στέφανον, συμπεπλεκότες τοῖς οὐρανόφροσι, θείοις πατράσιν ἀφοσιώσωμεν. Ὢ ὁσιόαθλοι, σὺν ὁσίοις κράζοντες, ὑπὲρ ἡμῶν, Κύριον πρεσβεύσατε, τοῦ ἐλεῆσαι ἡμᾶς.



Χαίροις ἐννεάριθμον σύνταγμα, ὁσιοάθλων στερρῶν, Κοσμᾶ θεῖε Μακάριε, καὶ Λουκᾶ Νεκτάριε, Ἱλαρίων Νικόδημε, Παῦλε Νικήτα Δαβὶδ ἀείμνηστοι, οἱ πόνοις πλείστοις ἐγκαρτερήσαντες. Ὢ καρτερόψυχοι, νεοάθλων καύχημα, ὑπὲρ ὑμῶν, μέμνησθε πρὸς Κύριον, τῶν εὐφημούντων ὑμᾶς.

Μάκαρ ἱερὲ Γερόντιε, σὺν μαθητῇ σου σοφῷ, καὶ Σωφρόνιε ὅσιε, πάνσοφε Μητρόφανες, Διονύσιε τίμιε, σεπτοὶ Πατέρες, τετρὰς πανόλβιε, οἱ ἐν ἀσκήσει καλῶς ἐκλάμψαντες, πόθῳ γεραίρομεν, ἐν ᾠδαῖς νῦν χαίροντες πανευλαβῶς, τὴν ὑμῶν πανήγυριν, Χριστὸν δοξάζοντες.

Πόθῳ συνελθόντες σήμερον, ἐν τῇ σεπτῇ ἑορτῇ, τῇ ὑμῶν πανσεβάσμιοι, ἱεροῖς ἐν ᾄσμασιν, ὑμᾶς καταγεραίρομεν, τὸν στεφοδότην Χριστὸν δοξάζοντες, τὸν ἐπαξίως ὑμᾶς δοξάσαντα, καὶ στεφανώσαντα. Ὃν καθικετεύσατε ὑπὲρ ἡμῶν, ἀξιομακάριστοι, τοῦ ἐλεῆσαι ἡμᾶς.

**Δόξα. Ἦχος Β΄.**

Ὅσιοι Πατέρες, Ἀγγελικὴν ποθήσαντες ζωήν, ἐν ἐρημίαις τοῦ Ἄθω, τὸν βίον ὅλον διηνύσατε, ὑπὲρ ἄνθρωπον ἀσκήσαντες, ὡς τὴν φύσιν νικήσαντες, ἐν εὐχαῖς καὶ ὕμνοις τὸν Θεὸν θεραπεύσαντες, νηστείαις καὶ ἀγρυπνίαις, τὴν σάρκα κατατήξαντες. Ὅθεν θείων χαρίτων ὑμᾶς ἠξίωσε, καὶ θαυμάτων αὐτουργοὶ γενόμενοι, φωστῆρες νοητοὶ τῷ κόσμῳ ἐδείχθητε· καὶ δι' ἀθλητικῶν ἀγώνων, τὸν τῆς ψυχῆς χιτῶνα πορφυρώσαντες, νικητικοῖς στεφάνοις κατεκοσμήθητε, παρὰ Χριστοῦ ὁσιόαθλοι. Ὢ νῦν μετὰ δόξης παριστάμενοι, αἰτήσατε ὑπὲρ ἐκτελούντων ὑμῶν τὰ μνημόσυνα, ὡς συνασκηταί, δωρηθῆναι ἱλασμόν, σωτηρίαν τε ψυχῶν, ἐν ἡμέρᾳ τῆς δίκης, παρρησίαν ὡς ἔχοντες ὁσιόαθλοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καὶ νῦν. Ὑπερευλογημένη

Δοξολογία Μεγάλη.

Εἶτα λέγομεν τὸ παρὸν Τροπάριον.

ἦχος δ'.

Σήμερον σωτηρία τῷ Κόσμῳ γέγονεν, ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

ἡ ἐκτενὴς καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Ὁσίων

Ὠδὴ Γ'. καὶ ς'.

Ἀναστάσιμα. Ἦχος Β'.

Τὴν φωνήν σοι προσάγομεν, τοῦ Λῃστοῦ καὶ βοῶμέν σοι. Μνήσθητι ἡμῶν Σωτήρ, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν Σταυρόν σοι προσάγομεν, εἰς πταισμάτων συγχώρησιν, ὃν ὑπὲρ ἡμῶν κατεδέξω Φιλάνθρωπε.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν προσκυνήσωμεν, πάντες καὶ τὸ Ἅγιον Πνεῦμα, πιστῶς ἀνυμνήσωμεν.

Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε, χαῖρε Νύμφη ἀνύμφευτε, χαῖρε ἡ Θεὸν τοῖς ἀνθρώποις, Παρθένε κυήσασα.

Τῶν Ὁσίων ᾠδὴ γ'. ἦχος Β'.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Ὁ βίος ὁ ὑμῶν Πατέρες ὅσιοι, σεμνός τε συνέσει κεκοσμημένος, ὁ δὲ λόγος θείῳ ἅλατι ἠρτυμένος ὑπῆρξε πανσεβάσμιοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Μακρύναντες τὸν νοῦν τοῦ Κόσμου τέλειον, καὶ ὅλον τὸν πόθον πρὸς τὸν Δεσπότην, ἀνατείναντες εἰλκύσατε, Θείαν χάριν, Πατέρες οὐρανόφρονες.

Τοῦ Ἄθω τὰ τερπνὰ εὐώδη κρίνατε, καὶ ῥόδα τοὺς Δεκατρεῖς Πανοσίους, τοὺς τῆς Σκήτεως προβόλους τε, ἐπαξίως ἐν ὕμνοις εὐφημήσωμεν.

Θεοτοκίον.

Ῥητόρων τὸ διάτορον σεσίγηται, σοφῶν τε ἡ ἀγχίνοια ἐμωράνθη, τῇ κυήσει σου Θεόνυμφε, ἀπορούντων νοεῖν σου τὸ μυστήριον.

Ὠδὴ ς'. ἦχος δ'. Τὴν θείαν ταύτην.

Στενὴν ὁδὸν διηνύσατε, ἀσκήσεως ἐν ὄρει τοῦ Ἄθωνος, ὁμολογίᾳ δέ, ἐπὶ τὸ τέλος πανόλβιοι, ἐστέφθητε, θανέντες ὑπὲρ τῆς πίστεως.

Λουκᾶν Κοσμᾶν Ἱλαρίωνα, Νικήταν καὶ Νεκτάριον Παῦλόν δε, καὶ τὸν Νικόδημον, ἅμα Δαβὶδ τε Μακάριον, ἐννέα ὁσιοάθλους, ὕμνοις τιμήσωμεν.

Δόξα.

Γερόντιον καὶ Σωφρόνιον, καὶ θεῖον Διονύσιον ᾄσμασι, καὶ Μητροφάνην τε, σοφοὺς ὁμοῦ τοὺς Θεόφρονας, τοὺς τέσσαρας ὁσίους καταγεραίρομεν.

Καὶ νῦν Θεοτοκίον.

Τὴν Θείαν στάμνον καὶ τράπεζαν, τὸν ἄρτον τῆς ζωῆς τὴν βαστάσασαν, τὴν ἀγεώργητον χώραν, τὸ ὄρος τὸ ἅγιον, τὴν Θεοτόκον Κόρην, ὕμνοις τιμήσωμεν.

Εἶτα. Ἀπολυτίκιον Ἀναστάσιμον ἦχος Β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον.

Καὶ τῶν Ὁσίων.

Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Ἐκλόγια τοῦ Ἄθω, καὶ τῆς Σκήτεως ῥόδα, καὶ τῆς Οἰκουμένης λαμπτῆρες, ἐδείχθητε Θεοφόροι, Πατέρες οἱ Δεκα-

τρεῖς ὁμοῦ, ἀσκήσαντες καὶ ἀθλήσαντες καλῶς, διὰ τοῦτο τὴν 'Αγίαν Μνήμην ὑμῶν, ἐπιτελοῦντες βοῶμεν, Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, Δόξα τῷ 'Αγιάσαντι, Δόξα τῷ ἐν κινδύνοις ἡμῶν προστάτας δείξαντι.

**Κοντάκιον. 'Η Παρθένος σήμερον.**

Ἐν τῇ Σκήτῃ ὅσιοι, τῇ τῆς Προμήτορος "Αννης, ἐν ἀσκήσει ζήσαντες, οὐρανοβάμονες ὄντως, ὤφθητε, δεκατρεῖς ὄντες σεπτοὶ Πατέρες. "Οθεν νῦν, ὑμῶν τὴν Μνήμην ἐπιτελοῦμεν, κατὰ χρέος ὡς πλουτοῦντες· πρέσβεις ἡμῶν πρὸς τὸν Κύριον.

*Ο ΑΠΟΣΤΟΛΟΣ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΚΑΙ ΤΩΝ ΑΓΙΩΝ*

Προκείμενα Ζήτει Δεκεμβρίου Κ'.—Καὶ 'Απόστολο, Σαββάτῳ Τρίτῳ τῶν Νηστειῶν.

'Αδελφοί, ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες,

**Εὐαγγέλιον τῆς Κυριακῆς**

**Καὶ τῶν 'Αγίων Ζήτει Τῇ Τρίτῃ Κυριακῇ τῶν Νηστειῶν**

**'Εκ τοῦ κατὰ Μάρκον.**

Εἶπεν ὁ Κύριος, ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι.

**Κοινωνικὸν Αἰνεῖτε τὸν Κύριον.**

**Καὶ εἰς μνημόσυνον αἰώνιον ἔσονται Δίκαιοι.**

**Μεγαλυνάριον τῶν 'Αγίων.**

Δεῦτε εὐφημήσωμεν εὐλαβῶς, τοὺς ἡμῶν προστάτας, τοὺς ὁσίους καὶ ἀθλητάς, τοὺς δεκατρεῖς τῆς Σκήτεως πολιούχους, τοῦ "Αθω πανευώδη, ῥόδα καὶ καύχημα.

**Στίχοι**

Τῶν ὁσιοάθλων σου Χριστὲ πρεσβείαις.
Τάξον καὶ ἡμᾶς δικαίων ταῖς χορείαις.
"Ινα ὑμνῶμεν εἰς τοὺς ἀτελευτήτους.
Χριστὲ σὸν κράτος, αἰῶνας τοὺς ἀλήκτους.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



# ΛΟΓΟΣ

*Μετ' ἐγκωμίου καὶ διηγήσεως πρὸς τοὺς 'Οσίους Πατέρας συνασκητὰς ἡμῶν. τοὺς ἐν τῇ 'Ιερᾷ ταύτῃ Σκήτῃ τῆς Θεοπρομήτορος 'Αγίας "Αννης ἀσκήσει τε καὶ ἀθλήσει φαιδρῶς Διαλάμψαντας.*

**Εὐλόγησον Δέσποτα.**

Ὅτε Τωβίας ὁ υἱὸς τοῦ δικαίου Τωβὶτ ἐκείνου, ἔκρινε δοῦναι μισθὸν τῷ 'Αγίῳ 'Αγγέλῳ Ραφαήλ, ὅτι ὑγιῆ αὐτὸν ἐποίησεν καὶ τὴν γυναῖκα αὐτοῦ ἐθεράπευσε, καὶ τὸ ἀργύριον αὐτοῦ ἤνεγκε. Τότε ὁ "Αγγελος Ραφαὴλ καλέσας τοὺς δύο, τόν τε πατέρα Τωβίτ, καὶ τὸν υἱὸν ἐκείνου Τωβίαν εἶπεν αὐτοῖς «Μυστήριον Βασιλέως γηΐνου κρύψαι καλόν· τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως χρῆ· οὐ μὴ κρύψω ἀφ' ὑμῶν πᾶν ῥῆμα.» Τίνος δὲ ἕνεκεν καλὸν τὸ κρύπτειν ἐπιγείου Βασιλέως τὸ μυστήριον; καλὸν πάντως· ὅτι ὅτε φυλάττεται κεκρυμμένον τὸ κατὰ τῶν ἐχθρῶν αὐτοῦ μυστήριον, οἱ ὑπεναντίοι μὴ γινώσκοντες ὅτι πῶς στρατεύεται κατ' αὐτῶν ὁ Βασιλεὺς ἐν ἀμεριμνίᾳ ὄντες, ἐξαίφνης ἔρχεται κατ' αὐτῶν καὶ νικᾷ αὐτούς, νικητὴς ὑποστρέφων καὶ τροπαιοῦχος· τούτου ἕνεκα τὸ μυστήριον τοῦ βασιλέως κρύπτειν καλὸν ὡς εἴρηται· «τὰ δὲ ἔργα τοῦ ὑψίστου Θεοῦ ἀνακηρύττειν ἔνδοξον ἐστί.» τὰ γὰρ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι «νοούμενα καθορᾶται.»

Ὁ Πανάγαθος Θεὸς δὲν ἔπαυσεν, οὔτε θέλει παύσει θαυματουργῶν διὰ τῶν ἁγίων του, ἵνα διὰ τῶν θαυμάτων ἀναβιβάσῃ τὸν πεσόντα ἄνθρωπον εἰς τὸν βαθμὸν ἐκ τοῦ ὁποίου ἐξέπεσεν. "Οθεν ἀπ' ἀρχῆς κηρύττονται τὰ μεγαλεῖα τοῦ Θεοῦ διὰ τῶν ἁγίων Προφητῶν, 'Αποστόλων, Μαρτύρων, 'Ιεραρχῶν, 'Οσίων, 'Οσιάθλων, καὶ λοιπῶν κατὰ γενεὰν καὶ γενεὰν διαλαμψάντων, καὶ τὴν ἀκραιφνῆ πίστιν ἡμῶν κηρυξάντων καὶ στηριξάντων· τοὺς ὁποίους ἁγίους ἀνέκαθεν ἡ τῶν εὐσεβῶν ὁμήγυρις ἐν σεπταῖς εἰκόσιν ἱστοροῦσα καὶ ἐν λόγοις συγγράφουσα τὰς πράξεις καὶ ἔνθεα κατορθώματα τῶν ἐν ἁγιότητι διαπρεψάντων, καὶ ὁσίως πολιτευσαμένων εἴωθεν. "Οτι ὁ πρὸς τοὺς ἁγίους ἔπαινος, καὶ ἡ πρὸς αὐτοὺς ἀναφερομένη τιμή, μισθὸς ἐστὶ τῆς ἀρετῆς κατὰ τὸν Θεολόγον Γρηγόριον· (ὁ ἐπαινῶν τὴν ἀρετήν, αὐτὸν ἐπαινεῖ τὸν Θεόν, παρ' οὗ τοῖς ἀνθρώποις ἡ ἀρετή.) καὶ πάλιν «ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμή, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας, λέγει ὁ μέγας Βασίλειος» καὶ αὖθις ὁ θεολόγος Γρηγόριος ἀποφαίνεται. «ὅτι ὁ τοῖς κατ' ἀρετὴν βεβιωκόσιν ἀπονεμόμενος ἔπαινος δι' ἀρετῆς, εἰς Θεὸν ἀναφέρεται, παρ' οὗ πᾶσα ἀρετὴ εἰς αὐτοὺς τοὺς ἀνθρώπους βραβεύεται.» 'Επειδὴ ὁ περὶ τὰ καλὰ ἔπαινος, τοὺς μὲν ῥαθύμους καὶ ἀμελεῖς διεγείρει καὶ παρακινεῖ πρὸς ζῆλον καὶ μίμησιν αὐτῶν τῶν ἁγίων· τοὺς φιλοπόνους καὶ ἐναρέτους ἀκμαιοτέρους καὶ προθυμοτέρους ἐργάζεται, διότι οὐδὲν ἄλλο φέρει τὰς ψυχὰς εἰς πόθον καὶ

ἔρωτα ἀρετῆς ὡς ἡ εὐφημία περὶ τὰ εὐφημούμενα. καὶ εὐφροσύνην πολλὴν εἰς τοὺς φιλοπόνους χαρίζεται, ἡ περὶ τοὺς ἀγαθοὺς γινομένη εὐφημία καὶ ἔπαινος.

Δίκαιον οὖν καὶ πρέπον ἐστι ἐν ἐτησίοις ἱεροτελεστίαις καὶ ἁγιστίαις τιμᾶν τοὺς ἁγίους, καὶ ἐν ὕμνοις ἐγκωμίων γεραίρειν αὐτούς· ὅτι οὐ μόνον εὐφροσύνην πνευματικὴν προξενεῖ ἡ μνήμη αὐτῶν τῶν ἁγίων, ἀλλὰ καὶ εἰς ψυχικὴν σωτηρίαν ἀμύθητον προτρέπει· ἀλλὰ καὶ τὸ βάρος τῆς συνειδήσεως ἡμῶν ἀνακουφίζει, καθότι οὐ μόνον τὴν ὑψηλὴν πολιτείαν τῶν ὁσίων Πατέρων, καὶ μᾶλλον τῶν ὁσιοάθλων ὀφείλει ἕκαστος τιμᾶν, ἀλλὰ καὶ τῶν εὐσεβῶν χριστιανῶν τῶν θεαρέστως καὶ ἐναρέτως πολιτευσαμένων. Ὅθεν ἐπειδὴ καὶ ἐν τῇ καθ' ἡμᾶς Ἱερᾷ καὶ εὐαγῆ Σκήτῃ τὸ πάλαι καὶ ἐσχάτως διέπρεψαν, ὧν ὀλίγους μόνον ὀνομαστοὺς ἀπὸ γραφῆς καὶ ἐκ παραδόσεως ἔχομεν, τοὺς δὲ πλείονας παντελῶς ἀγνοοῦμεν καὶ τὰ ὀνόματα αὐτῶν καὶ πράξεις, καὶ κατορθώματα, τοῦ τε πανδαμάτορος χρόνου, καὶ τῶν διαφόρων ἀνωμαλιῶν καὶ καταδρομῶν τὴν μνήμην εἰς παντελῆ λήθην καὶ ἄγνοιαν ἡμᾶς ἤγαγεν. Νῦν δὲ ὡς χρεὼν ἡμῖν ἀπαραίτητον ἐκρίθη, ἵνα αὐτοὺς ἑορτάζωμεν, ὅπως μὴ ἠθέλαμεν φανῇ πρὸς τοὺς Πατέρας ἡμῶν ἀχάριστοι· καὶ ἵνα τὴν προσήκουσαν πρὸς τὸν Θεὸν καὶ εἰς τοὺς ἁγίους τιμὴν ἀπονέμωμεν, καὶ τὴν κοινὴν σωτηρίαν καὶ ὠφέλειαν προνοοῦμεν.

Καὶ ἵνα γένηται εὔληπτος ὁ πρὸς τοὺς Ἁγίους λόγους, καὶ ἡ περὶ τούτων διήγησις, ἀναγκαῖον ἔγνωμεν ἀπὸ τοῦ πρώτου γνωστοῦ ἡμῶν ὁσίου Πατρὸς σημαιοφόρου Γεροντίου, συνοπτικῶς τὴν διήγησιν ἄρξασθαι. Ὅστις ἦτον ἡγούμενος τῆς Μονῆς τῶν Βουλευτηρίων, ἡ ὁποία Μονὴ παραθαλάσιος οὖσα ἠρημώθη ἀπὸ τοὺς πειρατὰς βαρβάρους, καθὼς καὶ ἄλλαι μοναὶ καὶ μονύδρια. Εἰς αὐτὴν τὴν Μονὴν τῶν Βουλευτηρίων, ὁ Εὐστράτιος ἡγούμενος τῆς μεγίστης Λαύρας, μετὰ τὴν κοίμησιν τοῦ θείου Πατρὸς Ἀθανασίου προχειρισθείς, καὶ μετ' ὀλίγον παραιτησάμενος τὴν προστασίαν εἰς τὸν Θεόκτιστον, ἦλθεν ὁμοῦ μὲ τὸν ἀνεψιόν του Ἀθανάσιον, καὶ ἔλαβε τὴν μονὴν ταύτην τῶν Βουλευτηρίων καὶ ἡσύχασεν. Εἶτα οἱ πατέρες τῆς Λαύρας ἔκριναν ὅτι ὁ μὲν Εὐστράτιος νὰ ἐπιστρέψῃ εἰς τὴν αὐτοῦ μετάνοιαν. Ὁ δὲ ἀνεψιὸς αὐτοῦ Ἀθανάσιος νὰ μένῃ ἡγούμενος τῆς Μονῆς τῶν βουλευτηρίων, καὶ νὰ ὑπόκειται εἰς τὸ κοινὸν τοῦ ὄρους, καθὼς καὶ τὰ λοιπὰ μονύδρια. Πρῶτον ἔκειτο δὲ ἡ Μονὴ αὕτη τῶν βουλευτηρίων κάτω εἰς τὴν θάλασσαν ἔνθα ἡ ἐκκλησία τοῦ ἁγίου Ἐλευθερίου. Μετὰ δὲ χρόνους ἐλθόντες μὲ πλοῖα βάρβαροι πειραταὶ ἐρήμωσαν τὸ μοναστήριον. Οἱ δὲ Πατέρες, καὶ ὁ τότε ἡγούμενος ὅσιος Γερόντιος κατέφυγον εἰς τὰ ὑψηλὰ μέρη καὶ ἡσύχασαν· τότε ᾠκοδόμησαν τὸν ναὸν τοῦ ἁγίου Παντελεήμονος, ἔνθα ἡσύχασεν ὁ ἡγούμενος Γερόντιος μὲ ἕναν του μαθητήν· καὶ διὰ προσευχῆς του ἔβλυσεν ὕδωρ, ὅτι ὁ τόπος ἦτον ξηρὸς καὶ ἄνυδρος· ἀλλ' ἐπειδὴ καὶ ὁ μαθητὴς τοῦ ὁσίου Γεροντίου, ἴσως καὶ ἕτεροι ἀδελφοὶ οἱ πέριξ οἰκοῦντες ἄρχισαν νὰ καλλιεργοῦσι κῆπον καταγινόμενοι εἰς περισπασμοὺς



καὶ ἀμελοῦντες τὴν Πνευματικὴν ἐργασίαν, ἐχάθη τὸ ὕδωρ, καὶ ἐξηράνθη ἡ πηγὴ παντελῶς. Λυπηθεὶς οὖν ὁ ὅσιος Γερόντιος καὶ δεόμενος ἐκτενῶς καὶ παρακαλῶν τὴν Δέσποιναν Θεοτόκον περὶ τοῦ ὕδατος· τοῦ ἀπεκάλυψεν ἡ Κυρία Θεοτόκος, ὅτι τὸ ὕδωρ ἀνέβλυσε παραδόξως διὰ τῶν εὐχῶν του ἐκεῖσε εἰς χρῆσιν πόσεως, καὶ οὐχὶ διὰ ποτισμὸν κήπων νὰ δίδωνται εἰς φροντίδας καὶ περισπασμούς· καὶ διὰ τῶν εὐχῶν του ἰδοὺ ὁποῦ ἀνέβλυσεν εἰς τὸ κατώτερον μέρος οὐχὶ ῥέων ἔξωθεν ὡς τὸ πρότερον, ἀλλ' ὡς πηγὴ βαθύτερον ἵνα πίνωσι μόνον, καὶ οὐχὶ νὰ ποτίζωσι κήπους· καθὼς τὴν σήμερον φαίνεται τὸ ἁγίασμα ἰαματικὸν καὶ ὁ ὅσιος Γερόντιος ἱστορισμένος καὶ δεόμενος πρὸς τὴν Θεοτόκον. Ζήσας οὖν ὁ ὅσιος Γερόντιος χρόνους ἱκανούς, καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐκοιμήθη ἐν Κυρίῳ, καὶ ἐτάφη παρὰ τοῦ μαθητοῦ αὐτοῦ· ἀρχηγὸς χρηματίσας τῆς Μονῆς τῶν Βουλευτηρίων ὡς εἴπομεν· οὗτινος τὴν μνήμην χρεὼν ἡμῖν ἑορτάζειν, ὅτι εἰς τὰς ἡμέρας τούτου τοῦ ὁσίου ἄρχησεν ἡ ἡμετέρα σκήτη κατοικεῖσθαι ἀπὸ ἀδελφούς, οἵτινες διεσκορπισμένοι ὄντες συνήχθησαν καὶ ἔκτισαν κελλία, καὶ κατ' ὀλίγον ηὔξησεν ἡ ἱερὰ Σκήτη διὰ τὸ παρηγορητικὸν τοῦ τόπου καὶ πλούσιον τῶν ὑδάτων καταῤῥοήν. (1) Ἀλλ' ἐπειδὴ ἡμέρᾳ τῇ ἡμέρᾳ αὐξανομένης τῆς ἐν τῇ Σκήτῃ συναθροίσεως τῶν ἀδελφῶν, καὶ στενοχωρουμένων εἰς τὰ πρώην μικρὰ Κυριακὰ ἅπερ εἶχον συναγόμενοι ἐκεῖσε ἐπετέλουν ἀγρυπνίας, καὶ θείας λειτουργίας. Μετὰ δὲ παρέλευσιν χρόνων ἱκανῶν, φιλευσεβής τις χριστιανὸς Γεώργιος τὸ ὄνομα, ἀποταξάμενος τῷ κόσμῳ, καὶ παραγενόμενος ἐν τῇ Σκήτῃ ταύτῃ, διὰ τοῦ Μοναχικοῦ σχήματος μετωνομάσθη Γερμανός, φιλοθέῳ γνώμῃ, καὶ φιλαδελφικῇ προαιρέσει κινούμενος, καὶ ἀφθόνῳ δαπάνῃ ἀνήγειρεν ἐκ βάθρων πρῶτος Ἱερὸν τέμενος ἐπὶ τῇ μνήμῃ τῆς Κοιμήσεως τῆς Θεομήτορος Ἁγίας Ἄννης, μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου, ἔνθα τὸ νῦν μέγα Κυριακὸν ὑπάρχει.

Μετὰ δὲ παραδρομὴν χρόνων συναγομένων καὶ ἑτέρων ἀδελφῶν, καὶ κατὰ μικρὸν πληθυνόντων, καὶ στενοχωρουμένων εἰς τὴν ἐκκλησιαστικὴν συνέλευσιν, διὰ τὴν μικρότητα τοῦ Κυριακοῦ, ὁ μετὰ τὴν οἰκειοθελῆ τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ αὐτοῦ Θρόνου παραίτησιν, ὁ Παναγιώτατος πρώην Κωνσταντινουπόλεως Κὺρ Διονύσιος ὁ ἐξ Ἄνδρου, θείᾳ νεύσει καὶ θεοφιλεῖ σκοπῷ κινηθείς, κατὰ τὸ α΄ χ΄ π΄. «1680» σωτήριον ἔτος, δαψιλέσιν ἀναλώμασι, καὶ ἀφθονοπαρόχοις δαπάναις ἀνεκαίνισεν ἐκ θεμελίων δεύτερον τὸν Ἱερὸν ναὸν τὸν ἐπὶ τῇ Κοιμήσει τῆς Θεοπρομήτορος Ἁγίας Ἄννης τιμώμενον, τὸν καὶ ὀνομαζόμενον Κυριακόν, εὐρυχωρότερόν τε, καὶ ὑψηλότερον, καὶ μείζονα τοῦ προτέρου τοῦτον κατασκευάσας, ἱεροῖς τε ἀργυρέοις ἀναθήμασι, καὶ τοῖς λοιποῖς χρειώδεσιν ἀφιερώμασι πολυτελέσιν εὐτρεπίσας τοῦτον κατεκόσμησε, καὶ κατεκάλλυνε, καὶ τὸν ἐγκαινισμὸν αὐτοῦ αὐτὸς οὗτος παραγενόμενος, ἐπετέλεσεν. οὐ μόνον δὲ ἐν τῇ καθ' ἡμᾶς Σκήτῃ ταύτῃ, ἀλλὰ καὶ ἐν ἄλλοις τισὶ σεβασμίοις Μοναστηρίοις, καὶ ἱεροῖς μονυδρίοις τοῦ

(1) Σύντομος Βιογραφία ἐκ τοῦ κώδικος τῆς ἡμετέρας Σκήτης.

δρους πολλὰς ἀγαθοεργίας τε, καὶ εὐεργεσίας ἐπετέλεσεν ἡ χρηστομίμητος φιλοικτίρμων τε καὶ φιλάδελφος θεοσεβὴς αὐτοῦ ψυχή, καὶ φιλόθεος.

Μετὰ παραδρομὴν ἱκανῶν χρόνων, τῆς καθ' ἡμᾶς Ἱερᾶς ἀδελφότητος πληθυνομένης, καὶ στενοχωρουμένης, ἐν τῷ διαληφθέντι θείῳ ναῷ ὁ ἀοίδιμος ἡμῶν Πνευματικὸς Κὺρ Φιλόθεος, ὁ ἐκ τῆς περιφήμου Πελοποννήσου ὤν, ἐκ πόλεως Ναυπλίου, καὶ ἐν ταῦτα χρόνους ἱκανοὺς διαπρέψας ἐν τε θεοφιλεῖ ἀσκήσει, καὶ Πνευματικῇ διαγωγῇ, καὶ σεμνοπρεπεστάτῃ πολιτείᾳ, θεία νεύσει, καὶ γνώμῃ φιλοθέῳ, τῇ τε βουλῇ καὶ συναινέσει τῶν ἐνταῦθα Πατέρων, κατὰ τὸ ᾳψνβ΄. «1752» Σωτήριον ἔτος, πόνοις πολλοῖς καὶ ἱδρῶσι, καὶ κόποις ἀναριθμήτοις καὶ μόχθοις αὐτοῦ τε, καὶ πάντων τῶν ἐνταῦθα παροικούντων Πατέρων, καὶ ἁδραῖς τῶν φιλοχρίστων δαπάναις, ἀνήγειρεν ἐκ βάθρων τὸν κάλλει κάλλιστον, καὶ μεγέθει μέγιστον καὶ εὐρυχωρότατον Θεῖον καὶ σεβάσμιον ναὸν τῆς Πανενδόξου Θεοπρομήτορος Ἁγίας Ἄννης ὡς ὁρᾶται τανῦν θαυμάσιος τῳόντι, καὶ θαυμαζόμενος ὑπὸ πάντων τῶν ὁρώντων ἐπὶ τῇ τυσαύτῃ αὐτοῦ καλλονῇ καὶ ὡραιότητι. *Κατὰ* κοσμήσας αὐτὸν τῇ τε ἱερᾷ καὶ ἀμιμήτῳ Ζωγραφία, καὶ τελειώσας αὐτὸν κατὰ τὸ ᾳψνζ «1757» σωτήριον ἔτος· καὶ ἱερεῖς σκεύεσι, καὶ ἀναθήμασι θείοις κατακαλλύνας, μετὰ μανουαλίων φημὶ ὡραίων, πολυελαίου τε ἐξαιρέτου, καὶ πάντων τῶν ἐπιλοίπων χρειωδῶν σκευῶν τοῦ Ἱεροῦ τούτου Οἴκου. συνεποικοδομήσας αὐτῷ καὶ τὴν τράπεζαν τῶν Πατέρων μετὰ καὶ τοῦ ἀρχονταρικίου ὡς ὁρᾶται. Ταῦτα οὖν πάντα τῇ προστασίᾳ τε καὶ ἐπιστασίᾳ, τοῦ προδιαληφθέντος Πνευματικοῦ, πόνοις μυρίοις ὡς ἔφημεν εἰπόντες, πολυτελῶς ᾠκοδομήθησάν τε καὶ ἀνηγέρθησαν, ναὶ μὴν καὶ ᾠκονομήθησαν, συνυπουργούντων καὶ συγκοπιώντων καὶ τῶν Πατέρων πάσῃ δυνάμει καὶ προθυμία, ἵνα οὖν μη τῇ παραδρομῇ τοῦ χρόνου τῷ τάφῳ τῆς λήθης συγκαλυφθῶσι τὰ ἀξιομνημόνευτα ταῦτα ἔργα καὶ ἀξιαγάστα, προστεθείκαμεν ταῦτα ἐν ταῦθα ἵνα σώζωνται εἰς γενεὰς γενεῶν, καὶ εἰς αἰῶνα τὸν ἅπαντα. (1)

Ἐπανέλθομεν πάλιν εἰς τὴν διήγησιν, περὶ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἐν τῇ Ἱερᾷ Σκήτῃ ταύτῃ διαλαμψάτων.

Ἄδικον δὲ τῷ ὄντι καὶ ἀπαίσιον εἶναι νὰ ὑστερήσωμεν τῆς ἁγιωνυμίας, καὶ νὰ ἐκχωρήσωμεν τῆς τῶν ὁσίων χορείας τὸν ῥήτορα Διονύσιον, μετὰ τοῦ μαθη-

(1) Εὑρίσκεται ἐντὸς τοῦ Καθολικοῦ τοιαύτη Ἐπιγραφή.

Ὁ Περικαλὴς οὗτος Ναός, ὁ ἐπονόματι Τιμώμενος τῆς Ἁγίας Ἄννης, τῆς Μητρὸς τῆς Θεοτόκου, ἣν Μὲν τὸ πρότερον ἀκαλῆς τε καὶ οὐ Πάνυ τοι εὐρύχωρος, τὴν δὲ προσοῦσαν αὐτῷ Ταννῆν καλλονήν τε καὶ εὐρυχωρίαν, περιεποιήσατο ὁ ἐν πνευματικοῖς πατράσι Πανοσιώτατος, Φιλόθεος Ἱερομόναχος, ὁ πελοποννήσιος. Ἀνοικοδομήσας μὲν αὐτὸν ἐκ βάθρον κατὰ τὸ ΑΨΝΒ, ἀπὸ θεογονίας ἔτος. Ἱστορήσας δὲ κατὰ τὸ ΑΨΝΖ. ἐλέει μὲν τὸν φιλοχρίστον. σπουδῇ δὲ καὶ ἐπιστασία οἰκεία ἀνύσας ἑκάτερα σὺν θεῷ· ἐπὶ Κυρίλλου Πατριάρχου Κων)πόλεος τοῦ Πελοποννησίου. διὰ χειρὸς Κωνσταντίνου καὶ Ἀθανασίου.



**τοῦ αὐτοῦ Μητροφάνους τοὺς στουδίτας, στουδῖται δὲ καλοῦνται; ὅτι ὁ ὅσιος Διονύσιος ὡς παλαιότερος εἰς τοὺς χρόνους ἦτον ἐκ τῆς μονῆς τοῦ στουδίτου πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως, καὶ ἐλθὼν εἰς τὸ ὄρος μετὰ τὴν ἅλωσιν, ἡσύχασεν εἰς τὴν μικρὰν καλουμένην ἁγίαν Ἄνναν· τοῦ ὁποίου καὶ βίβλος ἰδιόχειρος σῴζεται· ἐν τῇ καλύβῃ ᾗ ἤσκησεν ὡς εἰς τὸ προσκυνητάριον τῆς ἁγίας Λαύρας φαίνεται.**

Ὁ δὲ Μητροφάνης μαθητὴς αὐτοῦ γενόμενος, καὶ Πνευματικὸς προκριθείς, ἐπέμφθη παρὰ τῶν Πατέρων εἰς τὰ σιδηροκαύσια, τὰ νῦν μαδεμοχώρια καλούμενα· καὶ συνέβη τότε ἡ φοβερὰ ὀπτασία ἣν εἶδεν ὁ ῥουπτικὸς ἐκεῖνος χριστιανικώτατος καὶ εὐλαβὴς Δημήτριος ἐν ἔτει ᾳφοζ΄. ἤτοι: 1577. τὴν ὁποίαν ὡς ἔμαθεν ὁ ἱερὸς οὗτος πνευματικὸς Μητροφάνης, ἔδραμε σπουδαίως, καὶ τὸν ἠρώτησε καταλεπτῶς, καὶ ἔγραψεν αὐτὴν εἰς μνήμην ἀΐδιον, καὶ ὠφέλειαν τῶν ἀναγινωσκόντων, τὴν ὁποίαν θέλομεν διηγηθῆ ἰδιαιτέρως ὕστερον· αὐτοὺς γοῦν τοὺς δύω ὡς ἁγίους καὶ συνασκητὰς ἡμῶν χρηματίσαντας, συναριθμοῦμεν μετὰ τοῦ ὁσίου Γεροντίου, καὶ τῶν λοιπῶν διαλαμψάντων ἐν τῇ ἡμετέρᾳ Ἱερᾷ Σκήτῃ.

Εἰς τὴν Ἱερὰν ἡμῶν Σκήτην ἤσκησε καὶ ὁ ἁγιώτατος ἐκεῖνος καὶ σωφρονέστατος ἅγιος Σωφρόνιος ὁ Ἱερομόναχος, ἐκ τῆς ἠπείρου καταγόμενος· ὅμοιος κατὰ πάντα τῷ ἁγίῳ Ἀλεξίῳ τῷ ἀνθρώπῳ τοῦ Θεοῦ· ὅτι καὶ αὐτὸν θέλοντες οἱ γονεῖς του νὰ τὸν ὑπανδρεύσωσι συνήθως, ἔφυγε κρυφίως καὶ ἐλθὼν εἰς ταύτην τὴν Ἱερὰν ἡμῶν Σκήτην, ἡσύχασεν εἰς καλύβην μικρὰν καὶ πενιχρὰν ἀγωνιζόμενος χρόνους πεντήκοντα ὁ ἀείμνηστος· τοῦ ὁποίου τοὺς ἀγῶνας ὁ Κύριος ὁ γινώσκων τὰ κρυφῇ γινόμενα ἑνὸς ἑκάστου οἶδεν· καὶ τόσον εἰρηνικῶς τὸν βίον αὐτοῦ διήνυσεν ὅτι οὐδέποτε ἐσκανδάλισε τινὰ οὔτε ἐφιλονίκησεν· ἐν σιωπῇ διάγων, ἀξιωθεὶς δὲ τοῦ τῆς Ἱερωσύνης χαρίσματος, τόσον ἐφύλαξεν ἄῤῥυπον καὶ καθαρὸν τὸ ἀξίωμα, ὅτι δὲν ἔλαβε ποτὲ ὀβολὸν μισθοῦ περὶ τοῦ ἱερουργεῖν· τὸ ὁποῖον εἶναι θαύματος ἄξιον, καὶ ἀμίμητος ἐφάνη εἰς ὅλον τὸ ἅγιον ὄρος· καὶ οὕτως ὁσίως καὶ ἀμέμπτως βιώσας ἀπῆλθε πρὸς Κύριον, τὸ δὲ ἅγιον αὐτοῦ λείψανον ἔμεινεν ἀγνοούμενον, καθὼς ἄλλων πολλῶν ὁσίων Πατέρων. Οὕτως οὖν οἱ δίκαιοι εἰ ὴ φυσικὸν θάνατον κατὰ τὴν θείαν ἀπόφασιν· «ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ·» ἀλλ' οὐκ ἀποθνήσκουσι τὸν δεύτερον ἐκεῖνον θάνατον, ἀλλὰ ζῶσιν ἐν Κυρίῳ, καὶ ἐνεργοῦσι θαυμάσια, ἑτοίμως προφθάνοντες εἰς τοὺς καλοῦντας τὴν θείαν ἀντίληψιν, θεραπεύοντες πάθη ψυχῶν, καὶ λώβην σωμάτων, τῶν ψυχικῶς καὶ σωματικῶς νοσούντων. Ἡ Ἱερὰ αὕτη τῶν ὁσίων χυρεία οὐ μόνον πολλὰς καὶ μεγάλας βοηθείας καὶ ἀντιλήψεις εἰς τὴν Ἱερὰν ἡμῶν προεξένησε Σκήτην, ἀλλὰ καὶ πνευματικῶς προΐστανται βοηθοῦντες τοὺς ἐν αὐτῇ ἐνασκοῦντας Πατέρας καὶ ἀδελφούς, διὰ τῶν ἀκοιμήτων αὐτῶν καὶ δεήσεων πρὸς τὸν Δεσπότην, περισκέποντες καὶ περιφρουροῦντες ἡμᾶς

ἐξ ὁρωμένων καὶ ἀοράτων δεινῶν περιστάσεων ἐπερχομένων, καὶ πρὸς οὐράνιον διάβασιν ὁδηγοῦντες.

Ἀλλὰ προτοῦ τὴν βιογραφίαν καὶ ἄθλησιν τῶν ἐν τῇ Ἱερᾷ ἡμῶν Σκήτῃ φωστήρων δίκην διαλαμψάντων ὁσιοάθλων Πατέρων ἡμῶν τῶν συνεορταζομένων, πρέπον ἐστιν ἵνα δώσωμεν πρῶτον τὸ τέλος τῆς διηγήσεως τῶν ὁσίως λαμψάντων, εἶτα καὶ τῆς διηγήσεως τῶν ὁσιοάθλων ἔναρξιν ποιησόμεθα.

Καὶ ἐπειδὴ ἡ οὐράνιος θεία φωνὴ ἐκείνη διαφημίζεται ἀγράφως ἐκ παραδόσεως, ἣν ὁ ὑπήκοος ἐκεῖνος ὑποτακτικὸς ὁ τοῦ ὁσίου Ἀκακίου τοῦ ἐν τῇ κλίμακι μιμητής, ἤκουσεν ὅτε ἀνέβαινεν ἀπὸ τὸ παραθαλάσσιον ἄνω εἰς τὴν Σκήτην. Δίκαιον εἶνε μὴ σιωπηθῆναι καὶ τὴν τούτου ἀρετήν, καὶ τὸ τῆς ἀδιακρίτου αὐτοῦ ὑπακοῆς διηγηθῆναι· ὅτι ἐὰν μὴ ἐργάτης τῆς ἀρετῆς δοκιμώτατος ὑπῆρχε, καὶ ὑπακοῆς ἄκρας ὑπειλημμένος ἦν, οὐκ οὖν ἤθελεν ἀξιωθῆναι, τοιαύτης θείας φωνῆς αὐτήκοος γενέσθαι, παρακλητικῆς ὁ ἀείμνηστος. Τὴν ὁποίαν φωνὴν μαρτυρεῖ ἀλάλως βοῶν ὁ τίμιος Σταυρὸς σωζόμενος ἄχρι τοῦ νῦν.

Αὐτὸς ὁ Ἀδελφός, ἐν ὑποταγῇ τιμίου γέροντος εὑρισκόμενος, ἐν καιρῷ ἐσοδείας σίτου, ὅτε οἱ Πατέρες ἐκόμιζον ἀχθοφόροι τὸν σῖτον ἀπὸ τὸν αἰγιαλὸν ἐπάνω εἰς τὰς καλύβας των· φορτωθεὶς καὶ ὁ ἀδελφὸς οὗτος καὶ ἀναβαίνων μὲ κόπον· ὑπέβαλεν ὁ πονηρὸς εἰς τὸν λογισμόν του διαλογισμοὺς δυσπιστίας λέγων· ὅτι εἰς μάτην γίνονται οἱ τοιοῦτοι κόποι εἰς τὴν ἀνάβασιν τῶν πρὸς ζωῆς ἀναγκαίων, ὡς εἰς σωματικὴν θεραπείαν ἀποβλέποντες· θέλων ὁ μισόκαλος νὰ τὸν πλανήσῃ νὰ εὐγῇ ἀπὸ τὴν ὑπακοήν, καὶ νὰ μετέλθῃ βίον ἀμέριμνον· τοῦ ἐβάρυνε δὲ καὶ τὸ φορτίον διὰ νὰ ἀδημονήσῃ. Ὅθεν ἀποκαμὼν ἐκ τοῦ κόπου δευτέρας ἀναβάσεως φορτίου· ἀκούμβησεν εἰς τὸ πεζούλιον ἔνθα νῦν ὁ τίμιος σταυρὸς ἵσταται, τὸ τοιοῦτον θαῦμα δηλοῦντα, καὶ ἔλεγεν ἀδημονῶν· ἄραγε ἔχομεν μισθὸν διὰ τοὺς κόπους καὶ μόχθους τούτους ὁποῦ μὲ πολὺν κόπον καὶ ἱδρῶτα ἀναβιβάζομεν συχνάκις τὰ σιτηρέσια εἰς τὰς καλύβας; καὶ οὕτω ταῦτα συλλογιζόμενος, καὶ ἀδημονῶν· ἔγινε θεία ἐπίσκεψις, οὐ μόνον πρὸς πληροφορίαν ἐκείνου, ἀλλὰ καὶ διὰ τοὺς λοιποὺς Πατέρας τούς τε τότε, καὶ ἐσύστερον ὑπομένοντας αὐτοὺς τοὺς κόπους· καὶ ἤκουσε φωνὴν λέγουσαν εἰς αὐτὸν οὕτως.

Τί ἀπιστεῖς; τί ἀδημονεῖς; τί θλίβεσαι; γίνωσκε ὅτι οἱ κόποι αὐτοὶ ὁποῦ οἱ Ἀδελφοὶ ὑπομένουσι ἀχθοφοροῦντες, ὡς θυσία εὐάρεστος εἰς τὸν Θεὸν προσφέρεται. ὁ δὲ ἱδρὼς ὁποῦ χύνουσιν ἀνερχόμενοι ὡς αἷμα μαρτυρικὸν λογίζεται· διότι δὲν εἶναι Μάρτυρες μόνον ὅσοι ἀπὸ ἀπίστους τιμωροῦνται διὰ τὴν ὁμολογίαν τῆς πίστεως, ἀλλὰ καὶ ὅσοι ὑπομένουσι τοὺς κόπους τῆς ἀσκήσεως μὲ ὑπακοὴν ἀγογγύστως, ὡς Μάρτυρες λογίζονται. «Ταῦτα ἀκούσας ὁ Ἀδελφὸς ἐκεῖνος, καὶ πληροφορηθείς, καὶ διηγησάμενος πρὸς τοὺς Πατέρας τὴν ἀκρόασιν τῆς θείας ἐκείνης



φωνῆς, ἐσημειώθη ἱερογλυφικῶς εἰς ἐνθύμησιν τῶν μεταγενεστέρων Ἀδελφῶν. καὶ ἐτέθη ὁ τίμιος σταυρὸς εἰς τὸν τόπον ἐκεῖνον.» Ταῦτα μὲν περὶ τῶν ὁσίων τῶν ἐν τῇ Ἱερᾷ ἡμῶν Σκήτῃ διαλαμψάντων ὡς ἐν συντόμῳ.

Στρέφομεν δὲ τὸν λόγον πρὸς τοὺς ὁσιομάρτυρας εὐκτικῶς λέγοντες. Εὐλογητὸς εἴη εἰς τοὺς αἰῶνας καὶ δεδοξασμένος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τὴν καλὴν ὁμολογίαν μαρτυρίσας ἐπὶ Ποντίου Πιλάτου· ὁ καὶ ἐν ἐσχάτοις χαλεποῖς χρόνοις ἀναδείξας ἀθλητὰς καὶ Μάρτυρας τοῦ ἁγίου αὐτοῦ ὀνόματος, καὶ τὴν κορυφουμένην ἀπάτην τῆς ἀσεβείας καταισχύνας δι᾽ αὐτῶν, καὶ τὴν ὀρθόδοξον πίστιν τῶν χριστιανῶν βεβαιώσας, καὶ τοὺς κλονουμένους στηρίξας.

Ὅτι οὐ μόνον οἱ μαρτυρήσαντες ὑπὲρ Χριστοῦ πιστοὶ ὄντες καὶ μὴ αὐτὸν ἀρνησάμενοι εἰσὶ καὶ λέγονται Μάρτυρες· ἀλλὰ καὶ οἱ πεπτωκότες καὶ ἀρνησάμενοι τὸν Χριστὸν εἴτε ἐκ βίας, εἴτε ἐκ πορώσεως καὶ ἄλλης τινὸς περιστάσεως, καὶ ἔπειτα εἰς ἑαυτὸν ἐλθόντες καὶ μεταμεληθέντες, καὶ ἀνδρείως παρασταθέντες καὶ ὁμολογήσαντες τὸν θεάνθρωπον Ἰησοῦν· καὶ βασανισθέντες καὶ θάνατον ὑπομείναντες. Μάρτυρες τῷ ὄντι καὶ οὗτοι εἰσὶν ἀναμφιβόλως, ἐν τῷ χορῷ τῶν λοιπῶν Μαρτύρων συναριθμούμενοι· καθὼς ἀπὸ τὴν τρίτην ἄρνησιν τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου, καὶ τὴν αὐτοῦ ἐπιστροφὴν καὶ μετάνοιαν βεβαιούμεθα, καὶ τοῦ ἁγίου Ἰακώβου τοῦ πέρσου τοῦ ἀρνησαμένου τὴν πίστιν, καὶ αὖθις μετανοήσαντος καὶ τοῦ Μάρτυρος Μείρακος καὶ ἄλλων οὓς ἡ Ἐκκλησία ἑορτάζει καὶ τιμᾷ ὡς Μάρτυρας πληροφορούμεθα. Καὶ οὐ καθὼς οἱ κακόδοξοι Δονατισταὶ ἐφρόνουν ὅτι οἱ ἀρνηταὶ οὐκ ἔχουσιν ἄφεσιν. Ὁ γὰρ μαρτυρικὸς θάνατος, δευτέροις ῥύποις οὐ μολύνεται, καὶ οὐ μόνον τὸ ἓν καὶ μόνον ἅγιον βάπτισμα μολυνθὲν διὰ τῆς ἀρνήσεως καθαίρει ἀλλὰ καὶ δόξης ἀξιοῖ· καθὼς ἡ μαρτυρία τῆς χάριτος ἐπικυροῖ πιστωτέρα τῶν ἀνθρωπίνων λογισμῶν καὶ κρίσεων οὖσα. Πρῶτον μὲν ἡ ἐπισκίασις ἁγίου φωτὸς ἐν φυλακαῖς καὶ ποδοκάκοις καθειργμένων, καὶ ἐν ἀγχόνῃ κρεμαμένων, καὶ κεφαλικῇ τιμωρίᾳ τῶν ἁγίων λειψάνων καταχειμένων, ἐφάνη ἐπάνω τῶν ἱερῶν αὐτῶν πτωμάτων λαμπρῶς. Εἶτα καὶ τὰ ὑπερφυῆ θαύματα ὁποῦ ὁ Θεὸς ἐνεργεῖ διὰ τῶν Ἱερῶν αὐτῶν λειψάνων, ὡς εἰς τὰ μαρτύρια αὐτῶν φαίνεται ἁγίους αὐτοὺς δείκνυσιν.

Ὅθεν ὅταν ὁ Ὕψιστος Θεὸς ἁγιάζῃ αὐτούς, καὶ μὲ τὴν ἴσην δόξαν καὶ τιμὴν τῶν παλαιῶν Μαρτύρων ἐπιβραβεύει στεφάνοις ἀθλητικοῖς, τίς δύναται ἀντιπεῖν καὶ ἐναντιεῖσθαι εἰς τὴν δωρεὰν τοῦ Θεοῦ; τούτου ἕνεκα καὶ ἡ ἐν Κωνσταντινουπόλει μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, συνοδικῶς Πατριαρχικὴν ἐπιστολὴν ἐξέθετο, ἐπικυροῦσα, ἵνα οἱ χριστιανοὶ πανταχοῦ ὡς Μάρτυρας ἁγίους ἀποδέχωνται τοὺς προτέρους ἀρνησαμένους τὴν πίστιν ἐξ ἀγνοίας, ἢ ἀπάτης, ἢ ἄλλης αἰτίας· καὶ ὕστερον διὰ μαρτυρικοῦ θανάτου τελειωθέντες. Εἰσὶ δὲ καὶ ἄλλαι ἀποδείξεις περὶ τῆς ἁγιότητος τῶν νεοφανῶν Μαρτύρων, πλὴν ἡμεῖς συνοπτικῶς ταῦτα ἐση-

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

μειώσαμεν· ὅτι κατὰ τὸν μέγαν Βασίλειον· «ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμή, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν Δεσπότην εὐνοίας.» Ὅθεν πρέπον καὶ χρεὼν ἡμῖν εἶναι νὰ τοὺς τιμῶμεν καὶ ἐτησίοις ἁγιστίαις αὐτοὺς ἑορτάζειν, ἵνα ἔχωμεν αὐτοὺς εμεσίτας καὶ πρέσβεις πρὸς Θεὸν ὑπὲρ ἡμῶν, ὡς παῤῥησίαν ἔχοντας πρὸς αὐτόν. Ἀρχόμεθα οὖν τὴν διήγησιν ἑνὸς ἑκάστου κατὰ χρονολογίαν ἀπὸ τῶν ἀρχαιοτέρων ἄχρι τοῦ ἐσχάτως ἀθλήσαντος, τὸ πῶς, καὶ ἐν ποίῳ τόπῳ καὶ διὰ ποίου μαρτυρικοῦ τέλους ἐτελειώθησαν.

Α´ Πρῶτος ἐκ τῶν ὁσιομαρτύρων εἶναι ὁ Μάρτυς τοῦ Χριστοῦ Μακάριος, ὁ τῆς μακαρίας τῆς ὑπὲρ νοῦν ἐραστής, καὶ τῶν μακαρίων σύσκηνος· κατήγετο ἐκ τῆς ἐπαρχίας τῶν Βυθινῶν πόλεως Κίου· ὁ μὲν πατήρ του ὠνομάζετο Πέτρος, ἡ δὲ μήτηρ του Ἀνθοῦσα, οἱ ὁποῖοι ἔδωσαν τὸν ἅγιον εἰς ἕνα ῥάπτην εὐσεβῆ νὰ μανθάνῃ τὴν ῥαπτικὴν τέχνην, καὶ ὄχι μόνον τὴν τέχνην ἐμάνθανε παρ' αὐτοῦ, ἀλλ' ἐδιδάσκετο καὶ τὴν εὐσέβειαν.

Καὶ ὅταν ἦτον ὁ Ἅγιος δεκαοκτὼ χρόνων ἀρνήθη ὁ πατήρ του αὐτοθελήτως τὴν τοῦ Χριστοῦ πίστιν, (φεῦ!) καὶ ἐπίστευσεν εἰς τὴν τῶν ἀγαρηνῶν, καὶ διὰ νὰ ἔχῃ περισσοτέραν τιμὴν ὑπῆγε καὶ ἐκάθησεν εἰς τὴν Προύσαν, ὅτι ἐκεῖ εὑρίσκοντο πολλοὶ ἀγαρηνοί, καὶ μίαν φορὰν ἐπῆγεν ὁ Μανουήλ, (διότι οὕτω ὠνυμάσθη ὁ Ἅγιος εἰς τὸ θεῖον βάπτισμα) εἰς τὴν Προῦσαν διὰ νὰ ψωνήσῃ τὰ τῆς τέχνης του, καὶ εὑρίσκων αὐτὸν ὁ ἀσεβέστατος πατήρ του ἐν τῇ ἀγορᾷ, τὸν ἔσυρεν βιαίως εἰς τὸ κριτήριον λέγων, ὅτι τὸν καιρὸν ὁποῦ ἐπίστευσεν αὐτὸς τὴν θρησκείαν τῶν ἀγαρηνῶν, ὑπεσχέθη καὶ αὐτὸς ὁ υἱός του νὰ ἔλθῃ εἰς τὴν τῶν ἀγαρηνῶν πίστιν. ὁ δὲ Ἅγιος ἐναντιοῦτο λέγων ὅτι ποτὲ δὲν ἔδωσε τοιαύτην ὑπόσχεσιν, οἱ δὲ ἀγαρηνοὶ βιάζοντες αὐτὸν καὶ δέρνοντες, ἄκοντα καὶ μὴ θέλνοτα τὸν περιέτεμον. Ὁ δὲ Μανουὴλ ἀφοῦ ἔλαβε τὴν ἀκούσιον περιτομήν, εἰς ὀλίγας ἡμέρας ἔφυγε κρυφίως ἀπὸ τὴν Προύσαν, καὶ ἐπῆγεν εἰς τὸ ἅγιον ὄρος, καὶ ἐρευνήσας ὅλα τὰ Μοναστήρια, καὶ ταῖς σκῆτες, εὑρῆκεν εἰς τὴν σκήτην τῆς Ἁγίας Ἄννης ἕνα ἐνάρετον Μοναχόν, καὶ ἔγινεν εἰς αὐτὸν ὑποτακτικός, ὅστις καὶ τὸν ἔνδυσε τὸ Ἅγιον σχῆμα μετονομάσας αὐτὸν Μακάριον. Καὶ τὶς δύναται νὰ ἐπαριθμήσῃ τοὺς ἀγῶνας, τὰς σκληραγωγίας, τὰ δάκρυα ὁποῦ ἔχυνε καθ' ἑκάστην, (διότι νομίζων τὸν ἑαυτόν του ἀρνητὴν τοῦ Χριστοῦ, ἐμεταχειρίζετο τὰ δάκρυα τοῦ Πέτρου) καὶ τὴν ἄκραν ὑπακοὴν ὁποῦ εἶχε πρὸς τὸν γέροντά του.

Καὶ ἀφ' οὗ ἔκαμε δώδεκα χρόνους εἰς τὴν Σκῆτιν, ἐζήτησεν ἄδειαν ἀπὸ τὸν γέροντά του νὰ ὑπάγῃ εἰς τὴν Προύσαν ἐκεῖ ὁποῦ ἔλαβε τὴν ἀκούσιον περιτομήν, νὰ φανῇ χριστιανὸς καὶ νὰ ὁμολογήσῃ τὸν Χριστὸν Θεὸν ἀληθινόν, καὶ νὰ χύσῃ τὸ αἷμά του ὁ δὲ γέρων τὸν ἐμπόδιζε, λέγων, ὅτι ἡ μετάνοια τὰ ἐξαλείφει ὅλα, ἔχων τὴν δύναμιν τοῦ Θείου Βαπτίσματος· καὶ ὁ Ἅγιος ἀπεκρίθη, πῶς νὰ παρασταθῶ εἰς τὸ φοβερὸν κριτήριον τοῦ Δεσπότου Χριστοῦ τίμιε Πάτερ; εἰς τὴν φρικτὴν ἡμέραν τῆς Κρίσεως, ἔχων εἰς τὸν ἑαυτόν μου τὸ σημεῖον τῆς ἀρνήσεως τῆς πίστεώς μου φοβοῦμαι νὰ μὴν ἀκούσω ἐκεῖνο ὁποῦ λέγει, «ὅς τις μὲ ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτόν, ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς·» δὲν εἶμαι ἐγὼ αὐθάδης, καὶ πῶς νὰ συναριθμηθῶ μὲ τοὺς ἐκλεκτοὺς δούλους τοῦ Χριστοῦ μὲ τοιαύτην σφραγίδα; δὲν εἶναι ἄλλος τρόπος τίμιε Πάτερ παρὰ νὰ πηγαίνω, καὶ νὰ μοῦ δώσῃς τὴν ἄδειαν καὶ τὴν εὐχήν σου. Βλέπων δὲ ὁ γέροντάς του τὸ ἀμετάθετον τῆς γνώμης του ἐσυμβουλεύθη καὶ ἄλλους Πατέρας, οἱ ὁποῖοι ἔκριναν εὔλογον νὰ ὑπάγῃ, γνωρίζων, ὅτι πῦρ θεϊκὸν ἄναψε ἔσωθεν, καὶ ἐφοδιάσαντες αὐτὸν μὲ εὐχὰς καὶ εὐλογίας τὸν ἀπέλυσαν,



Ἐρχόμενος δὲ εἰς Κωνσταντινούπολιν, ἐπῆγεν εἰς τὸν Νομοκράτορα τῶν Τούρκων, καὶ ἐζήτησε φετουφᾶ ὁποῦ νὰ λέγῃ, ὅποιον βιάσουν καὶ ἀρνηθῇ τὴν πίστιν του χωρὶς τὸ θέλημά του, νὰ ἔχῃ πάλιν ἄδειαν νὰ ἐπιστρέψῃ εἰς τὴν προτέραν του πίστιν, χωρὶς νὰ ἠμπορῇ τις νὰ τὸν ἐμποδίσῃ· καὶ ἀφοῦ ἔλαβε τὸν φετουφᾶ, ἐπῆγεν εἰς τὸ Νησὶ τῆς Χάλκης, καὶ ἐκάθησεν εἰς τὸ Μοναστήριον τῆς Ἁγίας Τριάδος· ἐμήνυσε καὶ τῆς μητρός του καὶ ἦλθεν ἀπὸ τὴν πατρίδα του τὴν Κῖον, καὶ τὸν ἀντάμωσε, καὶ τὸν εὐχήθη. Ἐπρόσφερε καὶ ὁ Ἅγιος τὸ μητρικὸν σέβας πρὸς αὐτήν, τῆς ἔδωσε καὶ μίαν εἰκόνα μικρὴν τῆς Ὑπεραγίας Θεοτόκου, ὁποῦ τὴν ἔφερεν ἀπὸ τὸ Ἅγιον Ὄρος, καὶ τὴν ἔστειλεν εἰς τὴν πατρίδα του· δὲν τῆς ἐφανέρωσεν ὅμως τὸν σκοπόν του περὶ τοῦ Μαρτυρίου, καὶ εἰς ὀλίγας ἡμέρας ἡτοιμάσθη ὁ Ἅγιος διὰ τὴν Προύσαν, καὶ εὔγαλεν ἐκεῖνα ὁποῦ ἐφοροῦσε τοῦ Ἀγγελικοῦ σχήματος, τὸ πολυσταύρι, τὸ κουκούλιον, καὶ τὰ ἀφῆκε εἰς μίαν γωνίαν τοῦ Μοναστηρίου, διὰ νὰ μὴ τὰ εὕρουν οἱ ἀσεβεῖς καὶ τὰ καταπατήσουν.

Ἔπειτα ἐπῆγεν εἰς τὴν Προύσαν καὶ ἐπαρρησιάσθη εἰς τὴν ἀγορὰν μὲ τὰ καλογερικὰ φορέματα· βλέποντες δὲ αὐτόν οἱ ἀσεβεῖς εἶπον ἀνὰ μεταξύ των, δὲν εἶναι αὐτὸς ὁποῦ ἠρνήθη τὴν πίστιν του καὶ ἦλθε καὶ ἐπίστευσεν εἰς τὴν ἐδικήν μας, καὶ ἰδοὺ ὁποῦ ἐγύρισεν εἰς τὴν πρώτην του πίστιν καὶ ἔγινε καὶ καλόγηρος; καὶ πλησιάσαντες πρὸς αὐτὸν τὸν ἠρώτησαν, καὶ αὐτὸς τοὺς ἀπεκρίθη χωρὶς φόβον, ναὶ ἐγὼ εἶμαι, καὶ μὲ τὸ νὰ ἐκατάλαβα τὴν πίστιν σας πῶς εἶναι ψεύτικη, καὶ μεμολυσμένη, διὰ τοῦτο τὴν ἀφῆκα καὶ ἦλθον πάλιν εἰς τὴν ἰδικήν μου τὴν ἀληθινήν, καὶ συμβουλεύω καὶ σᾶς νὰ ἀρνηθῆτε τοιαύτην πίστιν ἀκάθαρτην καὶ κάλπικην, νὰ ἀναθεματήσετε τὸν Μωάμεθ, καὶ νὰ ἔλθητε νὰ πιστεύσητε εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, νὰ βαπτισθῆτε διὰ νὰ λυτρωθῆτε ἀπὸ τὴν αἰώνιον κόλασιν, καὶ νὰ κληρονομήσετε ζωὴν αἰώνιον. Ἀκούσαντες δὲ οἱ Ἀγαρηνοί, ὥρμησαν ὁμοθυμαδὸν νὰ τὸν καταξεσχίσουν, καὶ δέρνοντες αὐτὸν τὸν ἐπῆγαν εἰς τὸ κριτήριον, καὶ ἐβόων κατ' αὐτοῦ πῶς ὕβρισε τὴν Πίστιν, ἀναθεμάτησε καὶ τὸν Προφήτην, μάλιστα ὁποῦ ἦλθεν μόνος του καὶ ἐπίστευσεν εἰς τὴν ἐδικήν μας πίστιν ὡς καλλητέραν ἀπὸ τὴν ἐδικήν του· καὶ τώρα ἐγύρισεν εἰς τὴν προτέραν του πίστιν,

καὶ τὴν ἐδικήν μας ὑβρίζει καὶ καταφρονεῖ. Ἀκούσας δὲ ὁ Ἡγεμὼν εἶπε πρὸς τὸν Ἅγιον, ἐσὺ ἐγνώρισες τὴν πίστιν μας πῶς εἶναι καλλητέρα ἀπὸ τὴν ἐδικήν σου, καὶ ἐσὺ ἦλθες μόνος σου καὶ ἐπίστευσας, καὶ τώρα τὴν ἠρνήθης καὶ ἐπέστρεψας εἰς τὴν προτέραν σου πίστιν, καὶ ἔγινες καὶ Καλόγηρος; Ὀγρήγορα νὰ ἔλθης εἰς τὴν πίστιν μας νὰ πιστεύσης διὰ νὰ τιμηθῇς ἀπὸ ἡμᾶς, νὰ λάβης καὶ χαρίσματα· εἰ δὲ καὶ ἀπειθήσεις θὰ καταναλώσω τὰς σάρκας σου μὲ διάφορα κολαστήρια. Καὶ ὁ Ἅγιος ἀπεκρίθη πρὸς τὸν Ἡγεμόνα, ἐγὼ τὴν πίστιν σας καμμίαν φορὰν δὲν τὴν ἠγάπησα, ἀλλὰ μὲ βίαν καὶ χωρὶς τὸ θέλημά μου μὲ περιέτεμον, καθὼς τὸ ἠξεύρουν οἱ ὁμόπιστοί σου, καὶ ἄς μαρτυρήσουν τὴν ἀλήθειαν, ἐγὼ ποτὲ δὲν ἀρνήθηκα τὸν Χριστόν, οὔτε τὸν ἀρνοῦμαι κατ' οὐδένα τρόπον. Ταῦτα εἶπεν ὁ Ἅγιος, καὶ ἔδωσεν ἡσύχως τὸν φετουφᾶ τοῦ Μουλᾶ· ὁ δὲ καταπεισθεὶς εἰς τὸν φετουφᾶ, ἢ καὶ σπλαγχνισθεὶς τὸν Ἅγιον τὸν ἀπέλυσε, βλέπων αὐτὸν καὶ ἀδύνατον ἀπὸ τὴν ἄσκησιν. Οἱ δὲ Τοῦρκοι ἐσυνάχθησαν πρὸς τὸν Ἡγεμόνα καὶ ὀνειδίζοντες αὐτὸν ἔλεγον· ἐσὺ δὲν εἶσαι χαλίσικος Μουσουλμάνος, ὡσὰν ὁποῦ ἔπρεπε νὰ βιάζῃς τὰ ἔθνη νὰ ἔλθουν εἰς τὴν πίστιν, ἐκείνους ὁποῦ ἦλθαν μίαν φοράν, ἔπειτα ἐπέστρεψαν εἰς τὴν προτέραν των πίστιν, τοὺς ἀφίνεις ἀπαιδεύτους, καθὼς ἀφῆκες προχθὲς ἐκεῖνον τὸν Καλόγηρον· ἡμεῖς θέλομεν δώσει ἀναφορὰν πρὸς τὸν Βασιλέα νὰ σὲ παιδεύσῃ ὡς ἐχθρὸν τῆς πίστεως. Ὁ δὲ Ἡγεμὼν μεταμεληθείς, ἢ μᾶλλον φοβηθεὶς στέλλει καὶ φέρνει τὸν Ἅγιον, καὶ κυτάζων αὐτὸν μὲ ἄγριον βλέμμα τοῦ λέγει, ὀγρήγορα νὰ ἀρνηθῇς τὴν πίσιιν σου, καὶ νὰ πιστεύσῃς τὴν ἐδικήν μας, καθὼς καὶ μόνος σου τὴν ἐγνώρισες πῶς εἶναι καλλητέρα ἀπὸ τὴν ἐδικήν σου καὶ ἦλθες καὶ ἐπίστευσας εἰς αὐτήν, εἰδὲ καὶ ἀπειθήσεις μὰ τὸν ἡμέτερον Προφήτην, ἔχω νὰ καταναλώσω τὰς σάρκας σου· ἐγὼ σὲ ἀφῆκα νὰ στοχασθῇς πρῶτον τὸ συμφέρον σου, νὰ τὸ κάμῃς χωρὶς βίαν μὲ τὸ θέλημά σου μόνος σου, διὰ νὰ τιμηθῇς ἀπὸ λόγου μας, νὰ λάβῃς καὶ μεγάλα χαρίσματα. Ὁ δὲ Ἅγιος ἀπεκρίθη, ἐγὼ σοῦ εἶπα ὦ Ἡγεμών, ὅτι καμμίαν φοράν δὲν ἠγάπησα τὴν μιαράν σας πίστιν, ἀλλὰ μὲ βίαν καὶ χωρὶς τὸ θέλημά μου μὲ περιέτεμον, καὶ ἐδῶ εἶναι πολλοὶ ὁμοπιστοί σου ὁποῦ ἠξεύρουν, καὶ ἂς μαρτυρήσουν τὴν ἀλήθειαν· τὸ δὲ ἐγὼ νὰ ἀρνηθῶ τὴν πίστιν μου τὴν ἀληθινὴν καὶ νὰ πιστεύσω τὴν ἐδικήν σας τὴν ψεύτικην, αὐτὸ δὲν τὸ κάμνω ποτὲ νὰ ἀφήσω τὸ φῶς νὰ ἔλθω εἰς τὸ σκότος.

Ὁ δὲ Ἡγεμὼν λέγει πρὸς τὸν Ἅγιον, δὲν βλέπεις τὴν Βασιλείαν ὁποῦ ἔχομεν, τὴν δόξαν, τὴν ἐξουσίαν, καὶ τὰ λοιπὰ πλούτη, ἂν ἡ πίστις μας δὲν ἦτον καλὴ αὐτὰ ὁ Θεὸς δὲν μᾶς τὰ ἔδιδε. Καὶ ὁ Ἅγιος, ὁ Δεσπότης μου Χριστὸς δὲν μᾶς ὑποσχέθη ἐδῶ πρόσκαιρον Βασιλείαν, οὔτε δόξαν, οὔτε ἐξουσίας, οὔτε πλούτη, διότι ὅλα αὐτὰ εἶναι πρόσκαιρα, καὶ ἀφανίζονται ὀγρήγορα· ἀλλὰ μᾶς ὑπεσχέθη ἐπουρανίαν Βασιλείαν, νὰ συμβασιλεύωμεν μαζὺ μὲ αὐτὸν πάντοτε· ἐσὺ δὲ μὴν ὑπερηφανεύεσαι διὰ τὴν πρόσκαιρον Βασιλείαν ὁποῦ ἔχετε ἀδίκως κεκτημένην, διατὶ ἀφανίζεται ταχέως, ὁμοίως καὶ δόξα, καὶ ἐξουσία, καὶ πλοῦτος ἀπὸ ἀδικίας



συναγμένος, ὅλα αὐτὰ εἶναι πρόσκαιρα, καὶ διαφθείρονται ὡς ἡ ἀράχνη, καὶ ἐσᾶς τοὺς ἀσεβεῖς ἐκδέχεται τὸ αἰώνιον πῦρ τῆς ἀτελευτήτου κολάσεως, νὰ ὀδύρεσθε αἰωνίως ἀνωφέλευτα· καὶ τὶ καλὸν ἔχει ἡ πίστις σας, ὁποῦ εἶναι ὅλη πλάνη, μῦθοι, ψεῦδος, καὶ φλυαρίαι, καὶ πάσης ἀκαθαρσίας γεμάτη, καὶ ποῖος γνωστικὸς πιστεύει τοιαύτην πίστιν; Ταῦτα ἀκούσας ὁ Ἡγεμὼν κατὰ πολλὰ ἐθυμώθη, καὶ προστάζει νὰ κρεμάσουν τὸν Ἅγιον ἀπὸ τὰς ἀμασχάλας, καὶ τόσον νὰ τὸν ἔχουν κρεμασμένον, ὅσον νὰ εὑρίσκουν τὰ ἄκρα τῶν δακτύλων τῶν ποδῶν του εἰς τὴν γῆν, θέλων νὰ πατήσῃ καὶ μὴν ἠμπορῶν νὰ ἔχῃ κάθε στιγμὴν μεγάλην βάσανον, καὶ μίαν φορὰν τὴν ἡμέραν νὰ τὸν κατεβάζουν καὶ νὰ τὸν δέρνουν. Καὶ ἀφ' οὗ ἔκαμεν εἰς αὐτὴν τὴν βάσανον τεσσαράκοντα ἡμέρας, προστάζει ὁ Ἡγεμὼν καὶ τὸν φέρνουν ἔμπροσθέν του καὶ τοῦ λέγει· ἆρά γε ἐσωφρονίσθης ἀπὸ αὐτὴν τὴν παιδείαν καὶ ἐγνώρισας τὸ συμφέρον σου νὰ ἔλθῃς εἰς τὴν πίστιν, ἢ ἀκόμη εὑρίσκεσαι εἰς τὸ πεῖσμά σου; Καὶ ὁ Ἅγιος, μάλιστα πολλὰ καλὰ ἐσωφρονίσθηκα, καὶ ἐγνώρισα τὸ συμφέρον μου, διότι ἀπὸ αὐτὴν τὴν παιδείαν ἔμαθον νὰ ὑπομένω κάθε βάσανον.

Ὁ δὲ Ἡγεμὼν λέγει πρὸς τὸν Ἅγιον, δὲν ἠξεύρεις ὅτι αὐτὴ ἡ παιδεία ὁποῦ ἐδοκίμασες εἶναι μία παραμικρὰ σκιὰ ὡς πρὸς ἐκείνας τὰς παιδείας ὁποῦ ἔχεις νὰ δοκιμάσῃς; Καὶ ὁ Ἅγιος, ἂς ἑτοιμασθοῦν ὀγρήγορα, ποῦ εἶναι οἱ τροχοί, ἡ κάμινος, καὶ τὰ ἀτίθασα, θηρία, ποῦ εἶναι τὰ τύγανα, τὰ ξίφη, οἱ λέβητες, ποῦ εἶναι αἱ σχάρες, αἱ χειράγραι, καὶ ὅλα τὰ ἐκεῖνα τὰ τιμωρητικὰ ὄργανα ὁποῦ ἠμπορεῖ νὰ σοῦ ἑρμηνεύσῃ ὁ πατήρ σου διάβολος; Καὶ ὁ Ἡγεμὼν προστάζῃ νὰ κατεβάσουν τὸν Ἅγιον εἰς τὸ κουήν, (τὸ ὁποῖον εἶναι ἕνα ξηροπήγαδον πολὺ βαθὺ καὶ ζοφερόν) καὶ νὰ τὸν δένουν ἀπὸ τὰ ποδάρια, νὰ τὸν κατεβάζουν κατακέφαλα, καὶ μίαν φορὰν τὴν ἡμέραν νὰ τὸν κατεβάζουν πάλιν εἰς τὸ κουήν. Καὶ ἀφ' οὗ ἔκαμεν ὁ Ἅγιος εἰς αὐτὴν τὴν παιδείαν ἐννενήκοντα ἡμέρας, μίαν νύκτα ἐκατέβη θεῖον φῶς οὐρανόθεν εἰς τὸ ξηροπήγαδον, ἠκούσθησαν καὶ ψαλμῳδίαι Ἀγγέλων, καὶ ἡ εὐωδία θαυμάσιος. Ἐκεῖ παρὼν εὑρίσκετο καὶ ὁ πατὴρ τοῦ Ἁγίου συνεργὸς εἰς ὅλας τὰς τιμωρίας, ὁ ὁποῖος ἐπῆγεν καὶ ἔσκυψε νὰ ἰδῇ μέσα εἰς τὸ ξηροπήγαδον, καὶ εὐθὺς ἔπεσαν οἱ ὀφθαλμοί του καὶ ἔμεινε τυφλὸς ἕως τέλους ζωῆς του. Εὑρίσκετο ἐκεῖ μέσα εἰς τὸ ξηροπήγαδον καὶ ἕνας Ἀγαρηνὸς διὰ κἄποιον σφάλμα, καὶ βλέπων τὸ θαῦμα τοῦ θείου φωτὸς ἐπίστευσεν εἰς τὸν Χριστόν, καὶ μετὰ ταῦτα ἐμαρτύρει εἰς τὴν Κιουτάγια.

Ἔμαθεν ὁ Ἡγεμὼν περὶ τοῦ θαύματος ὅπου ἠκολούθησεν εἰς τὸ ξηροπήγαδον, καὶ ἔστειλε καὶ ἔφερε τὸν Ἅγιον καὶ τὸν ἠρώτησεν περὶ τοῦ θαύματος λέγων· τὶ φῶς ἦτον ἐκεῖνο ὁποῦ ἐκατέβη εἰς τὸ κουήν, καὶ τὶ ψαλμῳδίαι ἦσαν ἐκεῖναι ὁποῦ ἠκούσθησαν, καὶ τὶ ἦτον ἡ θαυμάσιος εὐωδία; Καὶ ὁ Ἅγιος λέγει, ὅποιος πιστεύει εἰς τὸν Χριστὸν ὄχι μόνον τοιαῦτα ἠμπορεῖ νὰ ἰδῇ, ἀλλὰ καὶ ἄλλα μεγαλήτερα. Καὶ ἤρχισε νὰ λέγῃ ἀπὸ τὴν Γραφήν, τὴν ὁποίαν ἐδιδάχθη εἰς τὸ Ἅγιον

Ὄρος· ἤκουον δὲ μὲ προσοχὴν οἱ εὑρεθέντες ἐκεῖ Ἀγαρηνοί· φοβηθεὶς δὲ ὁ Ἡγεμὼν μήπως πιστεύσουν εἰς τὸν Χριστόν, ἀποφασίζει νὰ πάρουν τὸν Ἅγιον καὶ νὰ τὸν εὐγάλουν ἔξω τῆς Προύσης εἰς ἕνα χείμαρρον, καὶ ἐκεῖ νὰ τὸν φονεύσουν· οἱ ὁποῖοι κατὰ τὴν προσταγὴν τοῦ ἄρχοντος τὸν ἐπῆραν καὶ τὸν ἐπῆγαν εἰς τὸν χείμαρρον, καὶ πρῶτα τὸν ἐλιθοβόλισαν μὲ λίθους, ἔπειτα ἀπέτεμον οἱ δήμιοι τὴν τιμίαν του κεφαλὴν τῇ ἕκτῃ Ὀκτωβρίου, 1590, ἀπὸ Χριστοῦ, καὶ εὐθὺς ἠκολούθησαν ἀστραπαί, βρονταί, καὶ ταραχὴ μεγάλη, ὁποῦ ὀλίγον ἔλειψε νὰ φονεύσῃ τοὺς δημίους· εὑρῆκαν ὅμως τόπον καὶ ἐφυλάχθησαν. Ἔμεινε δὲ τὸ Λείψανον τοῦ Ἁγίου ἄταφον εἰς τὸν χείμαρρον, καὶ ἔβλεπον οἱ πιστοὶ κάθε νύκτα ὁποῦ ἐκατέβαινε οὐρανόθεν θεῖον φῶς εἰς τὸ Λείψανον τοῦ Ἁγίου. Ἐπῆγον μερικοὶ Χριστιανοὶ καὶ τὸ ἐπῆραν κρυφίως καὶ τὸ ἐνταφίασαν, καὶ μετὰ ταῦτα τὸ διεμοίρασαν· ἔστειλαν τὴν Ἁγίαν Κάραν εἰς τὸ Ἅγιον Ὄρος εἰς τὴν Σκήτην τῆς Ἁγίας Ἄννης, ὁποῦ ἀσκήτευε· ἐπῆρε καὶ ἡ μητέρα του μέρος ἀπὸ αὐτὸν καὶ ἐκαθιέρωσαν τὴν ἁγίαν Τράπεζαν τῆς ἁγίας Τριάδος εἰς τὴν πατρίδα του· ἔμειναν καὶ μερικὰ εἰς τὴν Προύσαν, ἅτινα βρύουσιν εὐωδίαν καὶ θαύματα. Καὶ οὕτως ἐτελειώθη ὁ ἅγιος ὁσιομάρτυς Μακάριος.

Β΄. Συγχρόνως καὶ ὁ ὁσιομάρτυςΝικόδημος ὁ τῶν δῆμον τῶν ἀσεβῶν, καὶ φάλαγγας πονηρῶν δαιμόνων νικήσας, καὶ ἀνδρικῶς καταβαλών, καὶ νίκης βραβεῖα κομισάμενος, καὶ τρόπαιον στησάμενος ἐνήθλησεν, οὗτινος ἡ διήγησις ἔχει οὕτως.

Οὗτος ὁ νεοφανὴς τοῦ Χριστοῦ ἀθλητὴς πατρίδα εἶχε (κατὰ τὸ προσκυνητάριον τῆς Λαύρας) τὸ Ἐλβασάνινν τοῦ Δυρραχίου, γονεῖς ἔχων εὐσεβεῖς, ἐλθὼν δὲ εἰς ἡλικίαν ἔλαβε γυναῖκα νόμιμον, ἥτις ἐτελεύτησε, καὶ ἔλαβε δευτέραν· ἀλλὰ καὶ αὐτὴ ὡσαύτως τὸ ζῆν ἐξεμέτρησεν· εἶτα καὶ τρίτην λαβὼν ὁμοίως καὶ αὐτῆς τὸν βίον ἀπολιπούσης, ἠθέλησε λαβεῖν παρανόμως καὶ τετάρτην. Καὶ μαθὼν ὅτι εἷς τῶν μεγιστάνων ἄρχων ἀγαρηνὸς εἶχε παιδίσκην τινὰ χριστιανικὴν οὖσαν, ἐκ συνεργείας τοῦ πονηροῦ, ἐτρώθη εἰς αὐτήν, καὶ ἠθέλησε λαβεῖν αὐτὴν γυναῖκα· ὅθεν ἀπέστειλε μεσιτείαν εἰς τὸν ἄρχοντα ἀσεβῆ ἐκεῖνον, παρακαλῶν αὐτόν, τοῦ δοῦναι αὐτῷ, τὴν παιδίσκην αὐτοῦ εἰς γάμου κοινωνίαν.

Ὁ δὲ ἀσεβὴς ὤν, καὶ βουλόμενος ἑλκῦσαι αὐτὸν εἰς τὴν μιαρὰν αὐτοῦ θρησκείαν, ἀντεμήνυσεν εἰς αὐτὸν (ὅς τις Δέδε τὸ πρῶτον ἤτοι Δάδας ἐκαλεῖτο) ὅτι ἐὰν ἀρνῆται τὸν Χριστὸν καὶ συγκοινωνὸς γίνεται τῇ ἐκείνου δυσσεβείᾳ, δίδει αὐτὴν εἰς αὐτόν, εἰδὲ οὐδαμῶς. Ὁ δὲ Δέδες βεβακχευμένος ὤν, ἐκ τοῦ σατανικοῦ ἔρωτος, ἠρνήθη φεῦ τὴν εὐσέβειαν, καὶ ἔλαβε τὴν ποθουμένην. Ἀλλ᾿ ὁ φιλάνθρωπος Θεός, ὁ θέλων πάντας σωθῆναι, ᾠκονόμησε τὴν σωτηρίαν του τοιουτοτρόπως· θαυμασίως. Ἐν μιᾷ τῶν ἡμερῶν ὡς ἐκ μέθης ἀνανήψας εἰς ἑαυτὸν ἐλθὼν καὶ



κατανυγείς, ἐθρήνει γοερῶς τὴν τῆς ψυχῆς του ἀπώλειαν λέγων ταῦτα· οὐαί μοι τῷ ἀθλίῳ ! πῶς ἐσκοτίσθην ὁ τάλας ; πῶς ἐτυφλώθην τὸν νοῦν ; καὶ προετίμησα τὸ σκότος ὑπὲρ τὸ φῶς ; οἴμοι, οἴμοι· τίς μὲ λυτρώσηται τῆς αἰωνίου κολάσεως, ὅταν ἀκούσω τὴν φοβερὰν ἀπόφασιν τοῦ δικαίου κριτοῦ, τὸν ὁποῖον ἠρνήθην ὁ ἄθλιος ; λέγοντος· ὁ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ : ὢ τῆς συμφορᾶς καὶ τοῦ πτώματος οὗ ὑπέστην· ταῦτα ἐλεεινῶς ὀδυρόμενος, ἐγερθεὶς θείᾳ νεύσει, ἦλθεν εἰς τὸ Ἅγιον Ὄρος· καὶ εὑρὼν πνευματικὸν τινὰ Σάββαν καλούμενον, ἐξωμολογήθη, τὰς ἑαυτοῦ ἁμαρτίας. Εἶτα ἀναχωρήσας ἐκεῖθεν, καὶ ἐλθὼν εἰς τὴν Ἱερὰν ἡμῶν Σκῆτιν τῆς Ἁγίας Ἄννης, ἔδωκεν ἑαυτὸν εἰς ὑπακοὴν Πνευματικοῦ Πατρὸς Φιλοθέου καλουμένου, ἔχοντος τὴν καλύβην πλησίον τοῦ Κυριακοῦ ἥτις καὶ μέχρι τοῦ νῦν ἐπ᾿ ὀνόματι τῆς τοῦ Χριστοῦ Ἀναλήψεως τιμωμένη ἐστίν· ἐν αὐτῇ δὲ διαμείνας, καὶ διδαχθεὶς ἀπὸ αὐτὸν πᾶσαν τάξιν τῆς μοναχικῆς πολιτείας καὶ κανόνας, ἔλαβε καὶ παρ᾿ αὐτοῦ τὸ Ἀγγελικὸν Σχῆμα, μετονομασθεὶς ἀντὶ Δέδες Νικόδημος Μοναχός.

Εἰς τόσην δὲ μετάνοιαν ἦλθεν· ὅτι ἐποίησεν ἄκραν νηστείαν εἰς τρεῖς χρόνους, κλαίων καθ᾿ ἑκάστην πικρῶς, καὶ δεόμενος τοῦ Θεοῦ νὰ τοῦ συγχωρήσῃ τὸ μέγα παράπτωμα τῆς ἀρνήσεως· οὕτω λοιπὸν ἀγωνιζόμενος, ἤκουσε τινῶν Πατέρων λεγόντων· ὅτι ὅς τις ἀρνηθῇ τὸν Χριστὸν ἐνώπιον ἀνθρώπων, συμφέρει μᾶλλον εἰς αὐτὸν ἵνα πάλιν ὁμολογήσῃ αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων. Ἐκ τούτων τῶν λόγων οὖν ἦλθεν εἰς ἐπιθυμίαν τοῦ Μαρτυρίου. Καὶ παρακαλῶν νυκτὸς καὶ ἡμέρας τὸν Θεόν, καὶ τὴν Πανάχραντον αὐτοῦ Μητέρα, οὐ παρεῖδε τὴν δέησιν αὐτοῦ, ἀλλ᾿ ἐπήκουσεν αὐτοῦ ὡς πολυεύσπλαγχνος.

Ὅθεν ἐν μιᾷ τῶν νυκτῶν προσευχόμενος καὶ ἀγρυπτῶν ὁ Νικόδημος, ἐκ τοῦ περισσοῦ κόπου ἀπεκοιμήθη· κοιμώμενος οὖν, ἰδοὺ κατ᾿ ὄναρ φαίνεται πρὸς αὐτὸν ἡ Παντάνασσα Θεοτόκος· ἥτις ἐξήστραπτεν ὑπὲρ τὸν ἥλιον, ἱσταμένη ἐν μέσῳ δύο φωτεινῶν Ἀγγέλων, καὶ ἔχουσα ἐν τῇ δεξιᾷ αὐτῆς χειρὶ ποτήριόν τι κρυσταλοειδὲς ὡραιότατον, καὶ λέγει τῷ Νικοδήμῳ· γινώσκεις ἆρά γε ποία εἰμὶ ἐγώ; ὁ δὲ Νικόδημος πεσὼν μετὰ πολλοῦ φόβου καὶ τρόμου, προσεκύνησε τῇ Παρθενομήτορι λέγων· ναὶ Δέσποινα, γινώσκω ὅτι σὺ εἶ ἡ Μήτηρ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ προστασία καὶ μεσίτρια τοῦ γένους ἡμῶν· ἡ δέ, λέγει πρὸς αὐτόν· ἰδού, εἰσηκούσθη ἡ δέησίς σου· ἐγὼ γάρ, παρακαλέσασα τὸν Μονογενῆ Υἱὸν καὶ Θεόν, καὶ δυσωπήσασα αὐτόν, συνεχώρησε πάσας τὰς ἁμαρτίας σου· ὅθεν ἀγωνίζου εἰς τὸ ἑξῆς ἐν θεαρέστῳ πολιτείᾳ, ἵνα καὶ τῆς αἰωνίου τύχῃς μακαριότητος· ὁ δὲ Νικόδημος χαρᾶς ἀπείρου πλησθείς, πάλιν προσεκύνησε τῇ Θεοτόκῳ δεόμενος αὐτῆς, ὅπως δεηθῇ τῷ Μοναγενεῖ αὐτῆς Υἱῷ, τοῦ καταξιῶσαι αὐτὸν τοῦ Μαρτυρικοῦ μέχρις αἵματος τέλους· ἵνα καὶ μιμητὴς γένηται τοῦ ἀχράντου αὐτοῦ πάθους, τοῦ κενώσαντος ἑκουσίως ἐπὶ Σταυροῦ τὸ πανάγιον αὐτοῦ αἷμα ἐπὶ

σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, πρὸς διόρθωσιν τῆς πρώην γενομένης παρ' αὐτοῦ ἀρνήσεως. Ἡ δὲ Παντάνασσα Θεοτόκος, ἀπεκρίθη αὐτῷ λέγουσα· γενηθήτω σοι ὡς θέλεις· εἶτα πάλιν λέγει αὐτῷ· Ἄπελθε οὖν, ἔνθα ἠρνήσω κακῶς τὸ πρότερον, ὁμολόγησον ἐκεῖ καλῶς, καὶ ἡ χάρις τοῦ ἐξ ἐμοῦ τεχθέντος ἔστω μετὰ σοῦ· μὴ οὖν δειλιάσῃς τὰς βασάνους τῶν ἀσεβῶν, μηδὲ διστάσῃς ὅλως· ὅτι ἡ χάρις μου δυναμώσει σε· καὶ ταῦτα εἰποῦσα, ἐπιδίδωσιν αὐτῷ τὸ ποτήριον λέγουσα· ἄνοιξόν σου τὸ στόμα, καὶ δέξαι ποτήριον σωτηρίου καὶ Μαρτυρίου εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· ὁ δὲ τοῦτο γευσάμενος ᾐσθάνθη τὸ τοιοῦτον πόμα δριμύτερον ὄξους· καὶ πάλιν ἡ Θεοτόκος λέγει αὐτῷ· τὸ μὲν ποτήριον τοῦ Μαρτυρίου δριμὺ πρὸς ὥραν ἐστίν, ἀλλὰ γλυκεῖα ἡ τοῦ παραδείσου αἰώνιος ἀπόλαυσις· εἶτα ὁ μὲν θεῖος Νικόδημος προσκυνήσας τῇ Θεομήτορι, καὶ εὐχαριστῶν αὐτῆς τὴν μεγάλην εὐεργεσίαν καὶ τὸ ἔλεος, ἔχαιρε τῷ πνεύματι· ἡ δὲ Θεοτόκος ἀνέβη εἰς τοὺς οὐρανούς.

Τὶ τὰ μετὰ ταῦτα ; οὐκ ἐξαρκεῖτο ἡ πηγὴ τῆς εὐσπλαγχνίας Δέσποινα Θεοτόκος, ἕως τόσον καὶ μόνον, ἀλλ' ἔτι καὶ εἰς μεγαλητέρας θεωρίας τὸν ὅσιον κατηξίωσε· κοιμώμενος γὰρ ἔτι ὁ μακάριος Νικόδημος, ἡρπάγη εἰς ὀπτασίαν ὑπὸ θείου Ἀγγέλου, ὅστις ἔδειξεν εἰς αὐτὸν ὅλους τοὺς βασανιζομένους ἐν τῷ ᾅδῃ, ἐξαιρέτως δὲ τὸν ἀρχηγὸν τῆς πλάνης τῶν Ἀγαρηνῶν ὅς ἐστίν, ὁ ψευδοπρυφήτης Μωάμεθ· ὑπῆρχε γὰρ οὗτος δεδεμένος ἐν πυρίναις ἁλύσσεσι ἐν τῇ φλογὶ τῆς γεέννης, δεινῶς βασανιζόμενος· ὡσαύτως καὶ ἅπασα ἡ πληθὺς τῶν ἀσεβῶν, οἱ ὀπαδοὶ δηλονότι αὐτοῦ καὶ τῶν λοιπῶν πρωταρχηγῶν πάσης ἀσεβειας καὶ αἱρέσεως, ἅπαντες ἐκεῖ βασανιζόμενοι· εἶτα, φέρεται καὶ εἰς τὸν παράδεισον ὑπὸ τοῦ αὐτοῦ θείου Ἀγγέλου ὅστις ἔδειξεν αὐτῷ πᾶσαν τὴν τερπνότητα καὶ τὴν δόξαν αὐτοῦ, καὶ τὴν ἐκεῖ χαρὰν τῶν Δικαίων καὶ ἀγαλλίασιν.

Ταῦτα ἱκανῶς θεωρήσας ὁ θεῖος Νικόδημος, ἐγένετο ἔξυπνος δοξάζων τὸν Θεόν, καὶ τὴν Πανάχραντον αὐτοῦ Μητέρα, καὶ ποτὲ μὲν ἐθρήνει θερμῶς τὴν ἀπώλειαν τῶν ἀσεβῶν καὶ ἁμαρτωλῶν ἀνθρώπων συλλογιζόμενος· ποτὲ δ' ἔχαιρεν ὑπερβαλλόντως διὰ τὴν δόξαν τῶν Δικαίων· ὅθεν δραμὼν πρὸς τὸν πνευματικὸν αὐτοῦ πατέρα, τὸν ἄνωθεν ῥηθέντα Φιλόθεον, ἀποκαλύπτει εἰς ἐκεῖνον ἅπαντα ὅσα ἄνωθεν ἐδιηγήθημεν· ὁ δὲ ἱερὸς ἐκεῖνος πατὴρ ταῦτα ἀκούσας, λέγει αὐτῷ πρόσεξον καλῶς τέκνον, καὶ γνώρισον ὅτι τὸ μὲν πνεῦμα ἐστὶ πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Ἐπειδὴ γὰρ ὁ ἄνθρωπος βασανιζόμενος οὐ πάσχει κατὰ τὸ πνεῦμα ἀλλὰ μόνον κατὰ τὸ σῶμα, διὰ τοῦτο, τὸ μὲν πνεῦμα χαίρει εἰς πάντα τὰ πνευματικὰ καὶ θεῖα ἔργα, τὸ δὲ σῶμα, προβλέπον τὰς διαφόρους κολάσεις καὶ κακουχίας, φοβεῖται καὶ τρέμει, καὶ στρέφει εἰς τὰ ὄπισθεν· πλὴν ἄπελθε ἐν εἰρήνῃ τέκνον μου, πορεύθητι τὴν ὁδὸν τῆς σωτηρίας σου· καθὼς σοι ὁ Κύριος ἀπεκάλυψε· καὶ ἐπειδὴ αὐτὸς ὁ Κύριος ἀπεκάλυψέ σοι, καὶ προσκαλεῖ σε εἰς τὴν ὁδὸν τῆς σωτηρίας,



οὕτω καὶ σὺ ἄπελθε μετὰ προθυμίας ὀπίσω αὐτοῦ, ἡ γὰρ πληροφορία σου οὐκ ἐξ ἀνθρώπου ἐγένετο, ἵνα διστάζῃς ἀλλ' ἐκ Θεοῦ καὶ τῆς αὐτοῦ Παρθένου Μητρός, ἵνα ἀποβάλλῃ ἀπὸ σοῦ πάντα δισταγμὸν καὶ φόβον· ἄπελθε οὖν κατὰ τὴν θείαν πρόσταξιν, αὐτὸς γὰρ ὁ Θεὸς διατηρήσει σε ἀνώτερον πάντων ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων. Ταῦτα εἰπὼν ὁ Γέρων τῷ ἑαυτοῦ τέκνῳ Νικοδήμῳ, καὶ ποιήσας κοινὴν εὐχὴν μετὰ πάντων τῶν ἐν τῇ Ἱερᾷ Σκήτῃ πατέρων καὶ ἀδελφῶν, ἀπέλυσεν αὐτὸν ἐν εἰρήνῃ.

Ἅγιε Πνευματικέ. Ἐγὼ ὡς ἐκάθημουν εἰς τὴν κλίνην μου κοιτώμενος ἀπὸ τὴν ἀσθένειαν· ἤνοιξα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον ἄνδρα τινὰ ἔκλαμπρον καὶ πολλὰ εὔμορφον, τοῦ ὁποίου τὸ κάλλος δὲν δύναμε νὰ τὸ διηγηθῶ· καὶ ὡς τὸν εἶδον ἤλλαξαν τὰ νοήματά μου, καὶ ἀστέχησα παντελῶς τὰ τοῦ κόσμου τούτου, καὶ ὅλον αὐτὸν μόνον ἐστοχάζουμουν καὶ δὲν ἤθελον νὰ ξεχωρίσω τοὺς ὀφθαλμούς μου ἀπὸ αὐτόν· καὶ οὕτω μοῦ ἐφάνη ὅτι ἀπεχωρίσθην ἀπὸ τοὺς παρεστῶτας ἐδῶ ἀνθρώπους, καὶ εὑρέθην εἰς τὰς ἀγκάλας του· καὶ ἐκεῖνος κρατῶν με ἐπετάσθη ὑψηλά· καὶ ἀναβαίνοντες μοῦ ἐφάνη ὅτι ἐπεράσαμεν ἑπτὰ κύκλους οὐρανῶν· ὅτι ὡς κύκλοι μοῦ ἐφαίνοντο, καὶ ἀπερνούσαμεν ἀπὸ τὸν κάτω εἰς τὸν ἄνω ἕως οὗ ἐπεράσαμεν ὅλους, καὶ ἐπήγαμεν εἰς ἄλλον κόσμον ὁ ὁποῖος ἦτον λαμπρότατος· καὶ ἡ γῆ ἐκείνη ὑψηλοτέρα καὶ ὡραιοτέρα· ὅτι δὲν ἦτον καθὼς ἡ γῆ τούτη νὰ ἔχῃ βοτάνας, λίθους, χάσματα καὶ ῥεύματα, ἀμὴ ἦτον ὡς κάμπος ὡραιότατος στολισμένος μὲ πάσης γενεᾶς δένδρη ἀνθισμένα· τῶν ὁποίων δένδρων ἡ εὐωδία τῶν ἀνθέων καὶ τὸ κάλλος ἦτον ἀνήκαστος, καὶ λόγος ἀνθρώπου νὰ διηγηθῇ δὲν δύναται· καὶ τὸ καὶ τὸ μὲν εἶδος ἐν ἐφαίνετο ὡς ἀμυγδάλης, ἄλλον ὡς ῥόδον ἐαρινά· ἄλλα ὡς κρῖνα πανεύσμα· ἐκ τῶν ὁποίων ἦτο ὅλη ἡ γῆ ἐκείνη στολισμένη· περιπατῶντας οὖν εἰς τὸν τόπον ἐκεῖνον εἴδομεν δύο θύρας κλεισμένας, μὲ πύλας σιδηρὰς σφραγισμένας· καὶ ἔμπροσθεν τῆς δεξιᾶς θύρας ἵσταντο πλῆθος ἀνδρῶν λευκοφόρων φυλάττωντες αὐτήν· εἰς δὲ τὴν ἀριστερὰν ἄνδρες μελανοὶ φυλάττοντες καὶ ἐκεῖνοι· ὡς δὲ ἐφθάσαμεν παρέμπροσθεν τῶν θυρῶν ἐκείνων, λέγει μου ὁ φανεὶς ἐκεῖνος· κῦψον κάτω γλήγορα καὶ προσκύνησον· καὶ ἐγὼ παρευθὺς ἔκυψα καὶ ἐπροσκύνησα·



καὶ μὲ πολὺν φόβον ἐκοίτουμουν χαμαὶ ὕπτιος· καὶ ἐκεῖ ἤκουσα φωνὴν ὁποῦ ἔλεγεν ὡς ἀπὸ μακρόθεν τί ἔφερες αὐτὸν ἐδῶ; δὲν σὲ εἶπον νὰ φέρῃς αὐτόν, ἀλλὰ τὸν γείτονά του Νικόλαον· ἀμὴ αὐτὸς ἔχει νὰ ζήσῃ ἀκόμη εἰς τὴν γῆν· αὐτὴν τὴν φωνὴν ὡς ἤκουσεν ἐκεῖνος ὁποῦ μὲ εἶχε μὲ ἀσήκωσε τάχιστα, καὶ ἐπεριπατήσαμεν κατὰ ἀνατολάς· περιπατοῦντες δὲ εὑρέθημεν εἰς ἕνα κάμπον μέγαν πανωραῖον μὲ δένδρα πολλὰ ὡραιότατα καὶ ἀνθισμένα· καὶ ὑποκάτωθεν κάθε ἑνὸς δένδρου ἦτον ἕνας ἄνθρωπος ὁποῦ ἐκάθηντο εἰς τὸν ἴσκιόν του· οἱ δὲ ἄνθρωποι ἐκεῖνοι ἦσαν ὅλοι ὅμοιοι τὴν ἡλικίαν, πλὴν ἄλλων μὲν ἦσαν τὰ πρόσωπα λαμπρὰ καὶ χαρούμενα, ἄλλων δὲ ἦσαν μαῦρα ὡς αἰθίοπες, καὶ στυγνοὶ καὶ περίλυποι· καὶ ἐγνώριζεν ἕκαστος τοῦ ἄλλου τὸ τί ἔπραξεν εἰς τοῦτον τὸν κόσμον καλὰ ἢ κακά· διότι εἶχασι σημάδια ὁποῦ ἔδειχναν τοῦ κάθε ἑνὸς τὰς πράξεις.

Αὐτὸν λοιπὸν τὸν τόπον περιπατοῦντες, ἔβλεπον ἐγὼ εἰς τὸ ἕνα καὶ ἄλλο μέρος, καὶ ἐγνώρισα πολλοὺς ὁποῦ τοὺς ἤξευρα ἐδῶ παλαιοὺς ἀνθρώπους καὶ εἶταν ἀποθαμένοι· ἐγνώρισα καὶ γυναῖκας καὶ παιδία· ἐκεῖ ἦτον καὶ ὁ πενθερός μου· εἶδον ἐκεῖ καὶ μίαν γυναῖκα ὁποῦ τὴν εἴχασιν ἐδῶ καθισμένην εἰς ἕνα γαΐδαρον καὶ τὴν ἐπόμπευον, καὶ ἐκράτει καὶ τὸ παιδίον τὸ μπαστάρδικον ὁποῦ ἔκαμε, καὶ εἶχασι τὸ πρόσωπόν της μὲ κόπρον ἀλειμένην· ἐγνώρισα καὶ ἄλλους κακοὺς ἀνθρώπους ὁποῦ τοὺς ἔβλεπον ἐδῶ εἰς τὸ παζάρι κρεμασμένους, καὶ φουρκισμένους· ἐγνώρισα καὶ τὰς πράξεις των ὅτι τὰ ἔδειχναν τὰ σημεῖα ὁποῦ εἴχασιν ἐπάνω τους· εἶδον καὶ ἄλλους ἀπὸ τοὺς συγγενεῖς μας τοὺς ὁποίους ἐγνώρισα· καὶ λοιπὸν ὅσην ὥραν περιεπατούσαμεν ἐκεῖ εἰς τὸν κάμπον· εἶδον ἕνα λιβάδι παιδία τέσσαρα λαμπρὰ καὶ ὡραῖα· καθήμενα ὁμοῦ ὑποκάτωθεν ἑνὸς δένδρου ἀνθισμένου ὡραίου· ὡς δὲ εἶδα τὰ παιδία ἐκεῖνα, εἰς τόσην λαμπρότητα, ἐστάθηκα ὀλίγον καὶ τὰ ἐστοχάζουμουν καλῶς. καὶ ἐγνώρισα ὅτι αὐτὰ ἦσαν τέκνα μου ὁποῦ ἀπέθαναν ἐδῶ· ἦτον καὶ ὁ υἱός μου ὁποῦ ἀπέθανε χρόνων δώδεκα· ὡς δὲ τὰ ἐγνώρισα καλῶς, ἔλαβεν ἡ ψυχή μου μεγάλην χαράν· τότε λέγει μου ὁ θαυμαστὸς ἐκεῖνος ὁποῦ μὲ εἶχε· γνωρίζεις ἀρά γε ποῖα εἶναι αὐτὰ τὰ παιδία; καὶ ἐγὼ εἶπα, ναὶ κύριέ μου, ἐδικά μου εἶναι· καὶ ἐλυπούμουν διὰ αὐτὰ πολλὰ πῶς ἀπέθανον, καὶ τώρα τὰ βλέπω καὶ χαίρομαι· καὶ ἀγαπῶ πολλὰ νὰ εἶμαι καὶ ἐγὼ ἐδῶ μὲ αὐτά· καὶ ἐκεῖνος μοῦ εἶπε· τώρα δὲν εἶναι καιρὸς νὰ μείνῃς ἐδῶ· καὶ παρευθεὶς μὲ ἐχώρισεν ἀπὸ αὐτά· ἐγὼ δὲ ὅλον ἐστρέφουμουν καὶ ἔβλεπον τὴν ὡραιότητα τοῦ τόπου· καὶ δὲν ἐχόρταινον, ἀλλὰ μοῦ ἐφαίνετο ὅτι ἔτρωγον ἀπὸ τὴν εὐωδίαν καὶ χαράν, καὶ φῶς τὸ ὑπέρλαμπρον τοῦ τόπου ἐκείνου διότι ἡ αἴγλη τοῦ φωτὸς ἐκείνου δὲν ἤρχετο ἀπὸ ἕναν τόπον καθὼς ἐδῶ· ἀμὴ πανταχόθεν εὔγενε φῶς, ὅθεν θεωρῶντας τὴν εὐμορφίαν τοῦ τόπου· ἐτόλμησα καὶ εἶπον πρὸς τὸν ὁδηγόν μου. Κύριε αὐτὸς τάχα εἶναι ὁ παράδεισος τοῦ Θεοῦ; ἢ ἡ βασιλεία τῶν οὐρανῶν; καὶ ἐκεῖνος μοῦ εἶπε· δὲν εἶναι οὗτος ὁ παράδεισος, οὔτε ἡ βασιλεία τῶν οὐρανῶν· εἰς τὸν ὁποῖον ὥρισε ὁ Θεὸς νὰ εὑρίσκωνται αἱ ψυχαὶ τῶν πιστῶν ὁποῦ δὲν εἶναι διὰ τὴν αἰώνιον κόλασιν ἕως νὰ κάμῃ τὴν κρίσιν καὶ ἀνταπόδοσιν· ἀμὴ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ τὰ ἀγαθὰ ὁποῦ μέλλουν νὰ ἀπολαύσουν οἱ δίκαιοι, καὶ ὁ παράδεισος· ὁμοίως καὶ τῶν ἁμαρτωλῶν καὶ ἀσεβῶν τὰ κολαστήρια ὁποῦ μέλλουν νὰ κολάζωνται, εἶναι ἐκεῖ ὁποῦ εἶδες τὰς δύο κεκλεισμένας πύλας τὴν χρυσῆν καὶ λαμπράν, καὶ τὴν σιδηρὰν καὶ φλογερήν· ἡ μὲν δεξιὰ ὑπάγει εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ἡ δὲ ἀριστερά, εἰς τὴν γέεναν τοῦ πυρὸς τῆς κολάσεως· καὶ ἐγὼ εἶπον πρὸς αὐτόν· ποῖοι ἀρά γε εἶναι τώρα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ποῖοι εἰς τὴν κόλασιν; καὶ ἐκεῖνος μοῦ εἶπεν· ὅτι τώρα οὐδένας εἶναι οὔτε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οὔτε εἰς τὴν κόλασιν· ἀμὴ εἰς τόπον διωρισμένον νὰ ἀπολαμβάνουν οἱ μὲν μέρος εὐφροσύνης ἕως νὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀπολαύσουν τό τέλειον· ὁμοίως καὶ οἱ ἁμαρτωλοὶ εἰς τόπον καταδίκης ἕως νὰ καταδικασθοῦν εἰς τὴν γέεναν.

Αἱ ψυχαὶ ὅμως τῶν μεγάλων ἁγίων, εἶναι εἰς ὑψηλότερον τόπον ὡραιότερον τούτου ὁποῦ βλέπεις· ταῦτα ὡς ἤκουσα, ἐπεριπατούσαμεν πρὸς μεσημβρίαν, καὶ ἐφθάσαμεν εἰς τόπον σκοτεινὸν ὁποῦ ἦτον σκεπασμένος ἀπὸ πολλὴν ἀντάραν, καὶ ἦτον ὅλος δυσώδης καὶ βρωμισμένος, καὶ εἶχε μέσα πλῆθος ἀνθρώπων ἀρίθμητον· οἱ ὁποῖοι εἶχασι μεγάλην λύπην· καὶ ἠρώτησα τὸν ὁδηγόν μου ποῖοι ἦσαν ἐκεῖνοι ; καὶ εἶπε μοι· αὐτοὶ ἦσαν τὸ ἔθνος τῶν ἑβραίων ὁποῦ δὲν ἐπίστευσαν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ πάλιν ἐπεριπατήσαμεν ὀλίγον, καὶ εὑρίκαμεν ἄλλον τόπον σκοτεινότερον καὶ δυσωδέστερον, καὶ εἶχε λάσπην καὶ βρῶμαν, καὶ ἦσαν μέσα πλήθη ἀνθρωπίσκων ὡς μικρὰ παιδία καὶ κουτάβια σκυλίων τυφλά· καὶ ὡσὰν σκώληκες ὁποῦ κυλίονται εἰς τὴν βρῶμαν καὶ κόπρον· καὶ πάλιν ἠρώτησα τὸν ὁδηγόν μου ποῖοι ἦσαν ἐκεῖνοι· καὶ εἶπε μοι· τοῦτοι εἶναι τὸ ἔθνος τῶν Τουρκῶν ἀγαρηνῶν καὶ τῶν αἱρετικῶν. καὶ ἐπεράσαμεν ὀλίγον, καὶ εὑρήκαμεν τὸ γένος τῶν γυφτῶν φαραωνιτῶν, εἰς τόπον σκοτεινὸν καὶ τὰ πρόσωπά των μαῦρα· καὶ ἐγνώρισα πολλοὺς γύφτους ὁποῦ τοὺς ἔβλεπον εἰς τοῦτον τὸν κόσμον· εἶτα ἐγυρίσαμεν τόπους πολλούς, καὶ εἶδον πολλὰς γενεὰς ἀνθρώπων ἀπὸ κάθε θρησκείαν καὶ αἵρεσιν, καὶ ἦσαν ξεχωριστά· καὶ οἱ εἰδωλολάτραις· καὶ ἄθεοι· καὶ ἠρώτησα, καὶ μοῦ τὰ ὡμολόγησεν ὅλα ὁ ὁδηγός μου, πλὴν δὲν τὰ ἐνθυμοῦμαι λεπτομερῶς ὅλα· διότι εἶδον πολλὰ ἔθνη· καὶ ὅταν ἐπεράσαμεν τὸν σκοτεινὸν ἐκεῖνον τόπον, ἠρώτησα πάλιν τὸν λαμπρότατον ὁδηγόν μου λέγων· τάχα τούτη νὰ ἦνε ἡ κόλασις ; καὶ εἶπε μοι· δὲν σὲ εἶπον πρότερον διὰ τὰς δύο ἐκείνας θύρας ὅτι ἡ δεξιὰ εἶνε τοῦ παραδείσου, καὶ ἡ ἀριστερὰ τῆς κολάσεως ; ἀμὴ ὁ τόπος οὗτος εἶνε ὡσὰν σκιὰ καὶ προοίμιον ἐκείνης τῆς κολάσεως· καὶ ἐδῶ εὑρίσκονται ἕως νὰ γίνῃ ἡ κρίσις τοῦ κριτοῦ νὰ ἀποδώσῃ κάθε ἑνὸς κατὰ τὰ ἔργα του· ἴξευρε δὲ καὶ τοῦτο· ὅτι μία κόλασις εἶνε, πλὴν ἔχει πολλὰς καὶ διαφόρους κολάσεις· ὁμοίως καὶ ἡ βασιλεία τοῦ Θεοῦ μία εἶναι καὶ λέγεται καὶ αὐτή· ἀμὴ ἔχει πολλὰς καὶ διαφόρους τὰς ἀναπαύσεις καὶ κατοικίας τῶν δικαίων, καὶ κατὰ τὸ μέτρον τῆς ἀρετῆς καὶ κόπους ὁποῦ ἔκαμον, λαμβάνουν καὶ τὴν ἀνάπαυσιν παρὰ τοῦ δικαίου κριτοῦ.

## Ὅρα ὧδε φοβερόν.

Ἐν ὅσῳ δὲ ἔλεγεν ὁ ὁδηγός μου ταῦτα· ἤκουσα μίαν βροντὴν μεγάλην ὁποῦ εὐγῆκεν ὑποκάτωθεν καὶ εὐγῆκε βρῶμα πολλή, καὶ μέγας βρασμός, καὶ ἐβόησε πικρὰ καὶ θλιβερὰ ὡσὰν μέγας δράκων, ἢ μέγα θηρίον ὁποῦ λακτίζει καὶ συρίζει μεγάλα· ταύτην τὴν φοβερὰν φωνὴν ἀκούσας ἐγώ· ἐτρόμαξα καὶ ἔντρομος γενόμενος, ἐδοκίμαζα νὰ κρυφθῶ εἰς τὸν κόλπον τοῦ ὁδηγοῦντος με· καὶ ἔμφοβος εἶπον· τί εἶνε αὕτη ἡ φωνὴ κύριέ μου· καὶ εἶπε μοι· αὐτὸς εἶνε ὁ ᾅδης ὁ παμφάγος, ὁποῦ τρώγει ὅλους τοὺς ἁμαρτωλοὺς καὶ ἀπίστους ὁποῦ δὲν πιστεύουν εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν. καὶ ἁμαρτωλοὺς πιστοὺς ὅταν εὐγένει ἡ ψυχή των ἀπὸ τὸ σῶμα αὐτὸς τοὺς τρώγει καταπίνωντάς τους· ἔπειτα τοὺς ἀποπατώνει εἰς τοὺς τόπους τῆς καταδίκης ὁποῦ εἶδες· καὶ ὅσον τρώγει, χορτασμὸν δὲν ἔχει ποτέ. καὶ πάραυτα ἤκουσα φωνὴν ὁποῦ ἔλεγε· τί φωνάζεις ; τί κλαίεις ; τί στενοχωρεῖσαι ; ἀνάμεινον ὀλίγον, καὶ θέλεις χορτάσεις ἀπὸ πολλοὺς ἀρχιερεῖς καὶ ἐπισκόπους ἀναξίους, καὶ ἱερεῖς, καὶ καλογήρους ἀδοκίμους. αὐτὴ ἡ φωνὴ ἦτον ἀκόμη εἰς τὰ ὦτά μου· καὶ παρευθὺς εὑρέθην εἰς τὸν οἶκόν μου· καὶ βλέπωντας τὸ σῶμά μου



ἄσχημον δὲν ἤθελον νὰ εἰσέβω μέσα· ὁ δὲ θαυμαστὸς καὶ λαμπρότατος ἐκεῖνος ἀνὴρ ὁποῦ μὲ ἐκράτει καὶ ὁδήγει· ἔκαμε καὶ στανέως μου εἰσέβηκα εἰς τὸ σῶμά μου· καὶ ὡσὰν ἐμβῆκα τόσον μὲ ἐπόνεσεν ὁ κορμός, ὅτι ὅλα τὰ κόκαλα καὶ νεῦρα, καὶ κλείδωσες ἐσάλευσαν.

Ταῦτα ἐδιηγήθη ὁ Δημήτριος τῷ Ἱερῷ Μητροφάνῃ. τὰ ὁποῖα ἔγραψεν εἰς ἐνθύμησιν ἀΐδιον, καὶ ὠφέλειαν τῶν ἀναγινωσκόντων· τὰ ὁποία ἐβεβαιώθησαν περισσότερον ἀπὸ τὴν φωνὴν ὁποῦ ἤκουσεν· ὅτι δὲν σὲ εἶπον νὰ φέρῃς αὐτόν, ἀλλὰ τὸν γείτονά του Νικόλαον· ὁ ὁποῖος ἦτον καλὰ εἰς ἐκείνας τὰς ἡμέρας· καὶ μετὰ δύο ἡμέρας τῆς ὀπτασίας ἠσθένησε καὶ ἀπέθανε ταχέως, καὶ ὅσα ἡτοίμασαν διὰ τὴν ταφὴν τοῦ Δημητρίου, τὰ ἐξόδευσαν εἰς τὴν θανὴν τοῦ Νικολάου. Ἀλλ᾽ ὁ φθονῶν ἀείποτε τὸ καλὸν παρεκίνησε τινὰς Ἀρχιερεῖς καὶ Ἱερεῖς καὶ Μοναχοὺς ἀναξίους καὶ ῥαθύμους εἰς ἀπιστίαν τῶν ὁραθέντων λέγοντες· διατὶ δὲν εἶπεν ἡ φωνὴ νὰ χορτάσῃ ὁ ᾅδης ἀπὸ ἀσεβεῖς καὶ ἁμαρτωλούς, ἀμὴ ἀπὸ Ἀρχιερεῖς Ἱερεῖς καὶ Μοναχοὺς ἀναξίους ; καὶ λέγομεν εἰς αὐτό· ὅτι ἐπειδὴ καὶ ἡ κρίσις τοῦ Θεοῦ γίνεται δικαία· ἀνάγκη εἶναι πρῶτον οἱ ἀνάξιοι καὶ κακοὶ ὁδηγοὶ ὁποῦ γίνονται πρόσκομα τῆς σωτηρίας τοῦ λαοῦ, αὐτοὶ πρῶτον νὰ γίνωνται τροφὴ τοῦ ᾅδου καὶ παρανάλωμα τῆς κολάσεως, ἔπειτα ὁ λαὸς ὁποῦ τοὺς ἀκολουθοῦν νὰ καταβαίνουν εἰς τὸν ᾅδην. διότι καθὼς ἐκεῖνοι οἱ ἅγιοι Ἀρχιερεῖς Ἱερεῖς, καὶ Μοναχοὶ ὠφέλησαν πολλοὺς μὲ τὰς ἀρετάς των καὶ ὑπόδειγμα, καὶ εἶνε πρέπον αὐτοὶ πρῶτοι νὰ εἰσέργωνται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἔπειτα νὰ τοὺς ἀκολουθοῦν καὶ οἱ σωθέντες δι᾽ αὐτῶν. οὕτω πρέπον ἐστὶ καὶ δίκαιον, οἱ κακοὶ Ἀρχιερεῖς, Ἱερεῖς καὶ Μοναχοὶ ὁποῦ ἔβλαψαν πολλοὺς μὲ τὰς παρανομίας καὶ κακόν τους παράδειγμα· αὐτοὶ πρῶτον νὰ ὑπάγωσιν εἰς τὴν γέεναν τοῦ πυρὸς τῆς κολάσεως, καὶ ἔπειτα ἐκεῖνοι ὁποῦ ἠκολούθησαν ταῖς κακίαις των. Διὰ τοῦτο μὴ καταφρονῶμεν ὡς ἄφρονες ἀκούοντες τὰ σωτήρια λόγια· ἀμὴ ἂς φοβηθῶμεν, καὶ ἂς προσέχωμεν, νὰ μὴ καταδικασθῶμεν ὡς καταφρονηταὶ καὶ ἄπιστοι, καὶ κολασθῶμεν περισσότερον· ἀμὴ ἂς βάλωμεν ἀρχὴν μετανοίας ἀληθινῆς, ἵνα λυτρωθῶμεν τῆς κολάσεως. καὶ τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ ἀμήν.

Μακάριοι οἱ ἀκούοντες. Τρισμακάριοι οἱ ποιοῦντες.

**Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου γράμματος, (1) περὶ τοῦ τιμίου λειψάνου τῆς Θεοπρομήτορος Ἁγίας Ἄννης, πόθεν, πῶς, καὶ πότε κατήντησεν ἐν τῇ Ἱερᾷ Σκήτῃ ταύτῃ.**

Ἐπειδὴ καὶ τὰς παλαιὰς ὑποθέσεις ἀπὸ τῶν σημειώσεων τῶν παλαιῶν ἀνδρῶν τὰς μανθάνομεν· ταύτας δὲ ἐκεῖνοι ἂν δὲν τὰς ἐφανέρωσαν ὡς πρέπει, πολλὰ δύσκολα ἠμποροῦν οἱ μεταγενέστεροι νὰ τὰς φέρουν εἰς φῶς καθὼς ἁρμόζει.

Διὰ τοῦτο καὶ ἡμεῖς μὴν ἔχοντες πληρεστάτην ἔγγραφον ἀπόδειξιν εἰς τὸ νὰ φανερώσωμεν ἀκριβῶς πότε, καὶ πῶς τὸ διὰ γράμματος ἐνυπογράφου τε, καὶ ἐνσφραγίστου δύο Ἀρχιερέων Καισαρείας τε, καὶ Χαλδείας μεμαρτυρημένον, καὶ ἐπιβεβαιωμένον ἴδιον τίμιον λείψανον τῆς ἁγίας Ἄννης, μητρὸς τῆς Θεοτόκου, πρότερον ὂν εἰς χεῖρας τοῦ ἐν Ἱερεῦσιν εὐλαβεστάτου παπᾶ κὺρ Ἰωάννου, ὕστερον κατήντησε καὶ εἰς ἄλλας χεῖρας θεοσεβῶν χριστιανῶν. πλὴν τοῦτο μόνον ἐκ παλαιᾶς ἀξιοπίστων παραδόσεως γινώσκοντες, γράφομεν, ὅτι δύο τινὲς Ἀρχιερεῖς ἑτερόγλωσσοι, τὸ γένος ἄῤῥαβες, ἀπὸ τὸ κλῖμα τῆς Ἀντιοχείας, κατὰ τινὰ περιστατικὴν ἀνάγκην τόπον ἐκ τόπου ἀμείβοντες ἐλεημοσύνης χάριν, ἔχοντες μεθ' ἑαυτῶν καὶ τὸ προδιαληφθὲν ἱερὸν λείψανον τῆς Θεοπρομήτορος ἁγίας Ἄννης, ὁμοῦ καὶ τὴν συμμαρτυρίαν αὐτοῦ, κατήντησαν καὶ ἕως ὧδε εἰς τὸ ἅγιον Ὄρος τοῦ Ἄθω· καὶ περιοδεύοντες τὸ ὄρος ὅλον ἐλέους ἕνεκεν, ἦλθον καὶ εἰς τὴν κατὰ τὰ ὅρια τῆς Ἱερᾶς μεγίστης Λαύρας σκῆτιν, προβάταν καλουμένην· τότε δὲ ἐκεῖσε ὄντος τοῦ πανοσιωτάτου, καὶ αἰδεσιμωτάτου ἐν Ἱερομονάχοις, καὶ Πνευματικοῖς Πατράσι κυρίου παπᾶ κὺρ Ματθαίου τοῦ ἐκ Μεθύμνης τῆς Λέσβου, ἀνδρὸς ἐλλογίμου, καὶ σεμνοπρεποῦς, καὶ ἐν πολιτείᾳ ἐναρέτῳ περιφήμου, καὶ γνωστοῦ ἐν Ἀρχιερεῦσι τε, καὶ ἡγεμόσι, καὶ λοιποῖς ἄλλοις· μάλιστα δὲ καὶ πνευματικοῦ ὄντος τοῦ σερπάνου βοεβόνδα τοῦ καντακουζηνοῦ· ὅς τις καὶ ἐλεημοσύνην ἱκανὴν πρὸς αὐτὸν κατ' ἔτος ἔπεμπε, διά τε τὴν κυβέρνησιν αὐτοῦ τε, καὶ ἄλλων τῶν χρείαν ἐχόντων· οἱ οὖν προειρημένοι δύο ἄῤῥαβες Ἀρχιερεῖς ἀπελθόντες εἰς τὸ κελλίον τοῦ Πνευματικοῦ ἐκείνου, τὸ τιμώμενον ἐπ' ὀνόματι τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, καὶ παρὰ τοῦ ἱεροπρεποῦς πνευματικοῦ ἀνδρὸς ἐκείνου δεξιωθέντες, καὶ φιλοξενηθέντες, καὶ δι' ἱκανῆς ἐλεημοσύνης κυβερνηθέντες, χάριν ἀντὶ χάριτος καὶ αὐτοὶ ἐδωρήσαντο αὐτῷ τὸν προῤῥηθέντα Ἱερὸν θησαυρόν, τὸ μέρος δηλαδὴ τοῦ λειψάνου τῆς προμήτορος Χριστοῦ ἁγίας Ἄννης, ἤτοι τὸν ἀριστερὸν πόδα, μετὰ τῆς Ἀρχιερατικῆς αὐτοῦ συμμαρτυρίας.

Μετὰ δὲ παρέλευσιν χρόνων ἐκδημήσαντος πρὸς Κύριον τοῦ προλεχθέντος πνευματικοῦ παπᾶ Ματθαίου λεσβίου, καὶ μείναντος διαδόχου, καὶ κληρονόμου τοῦ ἀνεψιοῦ αὐτοῦ Πνευματικοῦ παπᾶ κὺρ Δανιήλ, μετὰ τῆς συνοδίας αὐτοῦ, τοῦ τε ἐν Μοναχοῖς Μαλαχίου, τοῦ καὶ ἀνεψιοῦ αὐτοῦ, καὶ τοῦ ἑτέρου ἐν Ἱερομονάχοις Κορνηλίου, ἐναπέμεινε καὶ ὁ ἀνωτέρω δηλωθεὶς ἱερὸς θησαυρὸς εἰς χεῖρας αὐτῶν. ἀλλ' ἐπειδὴ ὁ Παναγιώτατος, καὶ Θεοτίμητος Οἰκουμενικὸς Πατριάρχης, καὶ ἡμῶν Σεβασμιώτατος Κύριος κὺρ Διονύσιος ὁ ἐξ Ἄνδρου, ὁ μετὰ τὴν οἰκειοθελῆ τοῦ Οἰκουμενικοῦ αὐτοῦ θρόνου παραίτησιν ἐν τῇ Ἱερᾷ, καὶ βασιλικῇ μονῇ Μεγίστῃ Λαύρᾳ

(1) Ἐῤῥανίσθη ἐκ τοῦ Κώδικος τῆς Σκήτης.



ἐνασκούμενος, θεόθεν κινηθείς, ἀνήγειρε, καὶ ἀνεκαίνισεν ἐκ θεμελίων τὸν ἐν τῇ καθ' ἡμᾶς ταύτῃ Σκήτῃ Σεβάσμιον ναὸν τῆς Θεοπρομήτορος Ἁγίας Ἄννης, τὸ Κυριακὸν ὀνομαζόμενον· (κατὰ τὸ ἔτος 1680 μετὰ Χριστοῦ.) Ἔχοντες δὲ καὶ ἡμεῖς εἴδησιν περὶ τοῦ σεπτοῦ λειψάνου τῆς ἁγίας, ὅτι εἰς τὸ προειρημένον κελλίον εὑρίσκεται, πόθον πολύν, καὶ ἄμετρον εὐθυμίαν εἴχομεν, εἰς τὸ νὰ ἀξιωθῶμεν τοῦ τοιούτου πολυτίμου Ἱεροῦ θησαυροῦ· ὡσὰν ὁποῦ δίκαιον, καὶ πρέπον ἦτον, ἐπειδὴ εἰς τὴν μνήμην αὐτῆς τὸ Ἱερὸν τέμενος τῆς ἁγίας τιμᾶται, νὰ σεμνύνεται, καὶ νὰ γεραίρεται καὶ μὲ τὸ ἴδιον αὐτῆς ἅγιον λείψανον, ἐναποκείμενον, καὶ διαφυλαττόμενον ἐν αὐτῷ ὡς Ἱερὸν κειμήλιον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν συνάξεως γινομένης, καὶ περὶ τούτου κοινῶς συμβουλευθέντων, ὁ ἐν χριστῷ ἡμῶν ἀδελφὸς παπᾶ κὺρ Γερμανὸς λέσβιος, ὡς συμπατριώτης, καὶ φίλος, τοῦ προλεχθέντος πνευματικοῦ παπᾶ κὺρ Δανιήλ, ἀποκριθεὶς εἶπεν· ἐγὼ πατέρες καὶ ἀδελφοὶ μὲ τὴν σύμψηφον βουλήν, καὶ γνώμην πάντων ὑμῶν ἀναλαμβάνοντας τὴν περὶ τούτου μέριμναν φροντίδα ἐπάνω μου, θέλω ὑπάγει, καὶ ἴσως θείᾳ νεύσει, καὶ συνεργείᾳ τῆς προστάτιδος ἡμῶν Θεοπρομήτορος ἁγίας Ἄννης τύχωμεν τοῦ ποθουμένου.

Ἀκούσαντες δὲ ταῦτα, καὶ περιχαρεῖς γενόμενοι πάντες, ἐξελέξαμεν πρὸς συνόδευσίν του καὶ τὸν ἐν Ἱερομονάχοις πνευματικὸν παπᾶ κὺρ Διονύσιον, τὸν ἐκ τῆς μικρᾶς σκήτης, παρακαλέσαντες αὐτοὺς κοινῶς εἰς τὸ νὰ ἐπιμεληθοῦν ἐξ ὅλης καρδίας τὴν ἐπιχείρησιν· προσέτι δὲ νὰ φανερώσουν πρὸς ἐκεῖνον καὶ τοῦτο, ὅτι ὁποίαν δή τινα χάριν ἤθελε ζητήσῃ παρ' ἡμῶν, ἕτοιμοι εἴμεθα μετὰ πάσης προθυμίας πρὸς τὴν εὐχαρίστησιν· καὶ οἱ μὲν ἀπελθόντες, μὲ παρακλητικούς τινάς, καὶ δυσωπητικοὺς λόγους, ἀπήγγειλαν πρὸς αὐτὸν πάντα τὸν σκοπόν, καὶ τὸ κοινὸν ἡμῶν ζήτημα· ὁ δὲ φιλοφρόνως αὐτοὺς ἀποδεξάμενος, καὶ συγκατανεύσας τῇ δεήσει, καὶ παρακλήσει αὐτῶν, εἶπε πρὸς αὐτούς· κατὰ τὸ παρὸν μὲν ἀπέλθετε εἰς εἰρήνην πατέρες μου, μετὰ δὲ ὀλίγας ἡμέρας ἐξετάζωντας καὶ τὴν γνώμην τῆς συνοδίας μου, καὶ εἰ μὲν τὸ στέρξουν καὶ ἐκεῖνοι, ἐγὼ ὁ ἴδιος ἐκπληρῶν τὸ θεοφιλὲς ὑμῶν αἴτημα, μὲ τὸν ἐρχομόν μου θέλω φέρει τὸ ποθούμενον ὑμῖν δῶρον. μετὰ δὲ παραδρομὴν ἡμερῶν δέκα, τῇ κε ἤτοι 25 Ὀκτωβρίου, α.χ.π.ς. ἤτοι 1686. σωτήριον ἔτος· μαθόντες ἡμεῖς μακρόθεν τὴν ἔλευσιν τοῦ αἰδεσίμου πνευματικοῦ ἐκείνου ἀνδρὸς παπᾶ κὺρ Δανιήλ, μετὰ τῆς μετακομιδῆς τοῦ σεπτοῦ λειψάνου τῆς ἁγίας, καὶ πνευματικῆς χαρᾶς, καὶ εὐφροσύνης πλήρεις γενόμενοι, ἐξήλθομεν ἅπαξ ἅπαντες οἱ ἀδελφοὶ πρὸ ὑπάντησιν αὐτοῦ μετὰ λιτανίας, καὶ κατὰ τὸ πρέπον μετὰ πάσης τιμῆς, καὶ εὐλαβείας εἰσεκομίσαμεν αὐτὸ εἰς τὸν Ἱερὸν αὐτῆς καὶ θεῖον Ναόν, τὸ Κυριακόν, καὶ ταῖς ἰδίαις χερσὶ φέρων ἀνέθηκε, καὶ ἀφιέρωσεν αὐτὸ ὁ προῤῥηθεὶς Πνευματικὸς παπᾶ κὺρ Δανιήλ, ἐγχειρίσας ἡμῖν καὶ τὴν συμμαρτυρίαν αὐτοῦ.

Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐκείνῃ ὁλονύκτιον ἀγρυπνίαν ἐπιτελέσαντες μετὰ τῆς ἀκολουθίας τῆς Ἁγίας, καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου, (1) καὶ ψαλλομένων τῶν αἴνων, ἐν πίστει, καὶ πόθῳ πανευλαβῶς τὸ ἅγιον, καὶ σεπτὸν αὐτῆς λείψανον ἀσπαζόμενοι, Θαυματουργησάσης τῆς Ἁγίας, τοσαύτη ἄῤῥητος πολλὴ εὐωδία ἐξῆλθεν ἐκ τοῦ τιμίου αὐτῆς λειψάνου, ὁποῦ ἐπλήσθη ἅπας ὁ θεῖος ναός· καὶ τῆς τοιαύτης εὐωδίας ἅπαντες ὀσφρανθέντες, ὑπὸ ἀνεικάστου

(1) Πρέπει ἡ Ἱερὰ ἡμῶν Σκήτη ἔτι μεγαλοπρεπῶς νὰ ἑορτάζῃ τὴν ἡμέραν τοῦ ἁγίου Δημητρίου, ὁποῦ ἀπέκτησε τοιοῦτον ἀνεκτίμητον θησαυρόν, καὶ νὰ συμψάλεται καὶ ἡ ἀκολουθία τῆς ἁγίας Ἄννης μαζύ.

πνευματικῆς χαρᾶς, δόξαν καὶ εὐχαριστίαν τῷ φιλανθρώπῳ, καὶ προνοητῇ τῶν ὅλων Θεῷ ὁμοφώνως ἐκβάθους καρδίας ἀνεπέμψαμεν, τῷ δωρησαμένῳ ἡμῖν τοιοῦτον θησαυρόν, τῆς προμήτορος αὐτοῦ τὸ σεβάσμιον λείψανον. διὸ καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου, καὶ τῆς θείας λειτουργίας, μεγάλως ὑπερευχαριστήσαμεν καὶ τῷ ἀφιερώσαντι ἡμῖν τοιοῦτον κειμήλιον προειρημένῳ πανοσιωτάτῳ πνευματικῷ πατρὶ παπᾶ κὺρ Δανιήλ, ἐνθυμίζοντας αὐτόν, κατὰ τὴν ὑπόσχεσιν ἡμῶν, ὅ,τι ζήτημα καὶ ἂν ἤθελεν· ὁ δὲ ἄλλην χάριν εἶπεν δὲν ζητῶ παρ' ἡμῶν ἀδελφοί, καὶ πατέρες, εἰμὴ μόνον νὰ μνημονεύεται ἀκαταπαύστως ἐν ἑσπέρα, καὶ πρωΐ, καὶ μεσημβρία ἐκφώνως καὶ παῤῥησία τὰ ὀνόματα ταῦτα, Δανιὴλ Ἱερομονάχου, καὶ τῆς συνοδίας, καὶ τῶν γονέων αὐτοῦ. καὶ ἡμεῖς κοινῇ γνώμῃ, οἵτε κάτωθεν ὑπογεγραμμένοι Ἱερομόναχοί τε, καὶ μοναχοί, καὶ ἡ λοιπὴ πᾶσα ἀδελφότης, στέρξαντες μετὰ χαρᾶς τὸ ζητούμενον διὰ τὴν τοιαύτην αὐτοῦ πρὸς ἡμᾶς εὐεργεσίαν, καὶ ἐγγράψαντες αὐτὰ τὰ ὀνόματα εἰς τὸν παρ' ἡμῖν τῆς παῤῥησίας κατάλογον, ὑπεσχέθημεν νὰ τὰ μνημονεύωμεν ἐκφώνως πάντοτε. Τὸ λοιπὸν γράφοντες κοινῇ συμψήφῳ ἡμῶν γνώμῃ διορίζομεν, ὅτι μηδεὶς ἐκ τῆς ἡμετέρας ἀδελφότητος, ἢ καὶ ἄλλοθεν τὶς ξένος, ὁποίας τάξεως, καὶ ἀξίας ἂν εἴη, ἀποτολμήσῃ καὶ ἀποξενώσῃ τῆς καθ' ἡμᾶς ταύτης Σκήτεως τὸ προειρημένον ἅγιον λείψανον, ἤτοι τὸν ἀριστερὸν πόδα τῆς Ἁγίας, καὶ δικαίας Ἄννης, μητρὸς τῆς ὑπεραγίας Θεοτόκου, οὔτε ἀφαιρέσῃ μέρος τι ἀπ' αὐτοῦ πολύ, ἢ ὀλίγον, οὔτε ἔξω τῶν ὁρίων τῆς Σκήτεως ἀποκομίσῃ· (παρεκτὸς ἐντὸς τῆς Σκήτεως δι' ἀνάγκην τὶς θελήσει εἰς τὸ κελλίον αὐτοῦ ἀπαγαγεῖν, ἐχέτω ἄδειαν) οὔτε ἐξαλεῖψαι τὶς ἀποτολμήσῃ ἐκ τοῦ τῆς παῤῥησίας καταστίχου τὰ προλεχθέντα ὀνόματα τῶν ἀφιερωσάντων τὸ ἅγιον λείψανον, οὔτε καὶ τὰ ἄλλα ὀνόματα αὐτῶν ὁποῦ ἐγράφησαν εἰς τὴν πρόθεσιν. ὅς τις δὲ τῶν καθ' ἡμᾶς ἢ τῶν μεταγενεστέρων ἀκυρώσῃ, καὶ ἀθετήσῃ τὰς συμψήφους, καὶ ὁμογνώμους παραγγελίας ταύτας, ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ, καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ· ἔχει δὲ καὶ τὰς ἀρὰς τῆς Θεοπρομήτορος Ἁγίας Ἄννης, καὶ τῶν Πατέρων. ὅθεν εἰς ἔνδειξιν, καὶ διαμονὴν διηνεκῆ ἐγένετο τὸ παρὸν ἡμέτερον ἐνσφράγιστον, καὶ ἐνυπόγραφον γράμμα, ἐν ἔτει σωτηρίῳ. α'. χπϛ, ἤτοι 1686. Ὀκτωβρίου 26. ὁ Δικαῖος τῆς Σκήτεως, παπᾶ Συμεών· ὁ παπᾶ Γερμανός· παπᾶ Διονύσιος· παπᾶ Σεραφείμ· παπᾶ Φιλήμων προηγούμενος ξηροποταμηνός· παπᾶ Μητροφάνης σέρβος· παπᾶ Γρηγόριος· παπᾶ Δανιήλ· παπᾶ Παρθένιος· παπᾶ Ἰωάσαφ· Ἱεροδιάκον Ἀκάκιος· γερων Σεραφείμ· Ἰωακείμ· Ματθαῖος· Μακάριος· Γρηγόριος. Καὶ ἡ λοιπὴ πᾶσα σὺν ἐμοὶ ἐν Χριστῷ Ἀδελφότης, ἐπικυροῦμεν, καὶ ἐπιβεβαιούμεθα τὰ ἄνωθεν.

**Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου Ἀρχιερατικοῦ μαρτυρικοῦ γράμματος περὶ τοῦ τιμίου λειψάνου τῆς ἁγίας, καὶ δικαίας Ἄννης, μητρὸς τῆς Θεοτόκου.** (1)

Διὰ τῆς παρούσης ἡμετέρας ἐγγράφου ἀποδεικτικῆς, καὶ ἐπιβεβαιωτικῆς μαρτυρίας, μετὰ τὸν Ἀδελφικὸν ἀσπασμόν, δηλοποιοῦμεν ὑμῖν ἅπασι τοῖς ἁπανταχοῦ εὑρισκομένοις θεοσεβέσιν ἐν Χριστῷ Ἀδελφοῖς, ἑκάστης ἀξίας, ἡλικίας τε, καὶ τάξεως· ὅτι κατὰ τὰ μέρη τῆς μεγάλης Ἀρμενίας, εἰς κάστρον ὀνομαζόμενον Θεοδοσούπολις, τὰ νῦν δὲ Ἐσροὺμ καλούμενον, ναὸς παλαιὸς εὑρίσκεται, ἐκ καιρῶν, καὶ χρόνων τῶν Θεοσεβεστάτων ῥωμαίων βασιλέων ἡμῶν, ἐπ' ὀνόματι τιμώμενος τῶν ἁγίων ἐνδόξων μαρτύρων, Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου· ἐν ᾧ εὑρίσκονταί τινα ἅγια λείψανα μεμαρτυρημένα, καὶ ἐπιβεβαιωμένα, τῆς τε ἁγίας, καὶ δικαίας Ἄννης, μητρὸς τῆς ὑπεραγίας Θεοτόκου, καὶ ἑτέρων τινῶν ἁγίων, ἅπερ ἐξ ἡμῶν ἁμαρτιῶν ἔμειναν ἐν χερσὶ τῶν ἀλλοτρίων ἕως τῆς σήμερον. Προνοίᾳ δὲ θείᾳ ὁ εὐλαβέστατος ἐν Ἱερεῦσι παπᾶ κὺρ Ἰωάννης, γράμμασιν ἐφωδιασμένος τοῦ Παναγιωτάτου, καὶ σοφολογιωτάτου Οἰκουμενικοῦ Πατριάρχου, περιοδεύων πᾶσαν πόλιν καὶ χώραν, καὶ ἀμείβων τόπον ἐκ τόπου, καὶ ἀπὸ κάστρον εἰς κάστρον περιπατῶν, ἐλέους χάριν, καὶ βοηθείας, διὰ τὴν ἐκ περιστάσεως καιρικῆς συμβᾶσαν αὐτῷ δυστυχίαν, καὶ συμφοράν, κατήντησε καὶ εἰς ἐκεῖνα τὰ μέρη, καὶ εὑρὼν τὰ προειρημένα ἅγια λείψανα, μετὰ πολλοῦ κόπου τε, καὶ μόχθου, καὶ δαπάνης οὐ σμικρᾶς, ἔλαβεν ἐκ τοῦ λειψάνου τῆς Προμήτορος Χριστοῦ ἁγίας, καὶ δικαίας Ἄννης μέρος τι, δηλαδὴ τὸν ἀριστερὸν πόδα.

Διὸ καὶ ἡμεῖς ὅ,τε Μητροπολίτης Καισαρείας, Καππαδοκίας, καὶ ἔξαρχος πάσης ἀνατολῆς Ἐπιφάνιος, καὶ ὁ Ἀρχιεπίσκοπος Χαλδίας Σίλβεστρος, συμμαρτυροῦμεν, καὶ συμβεβαιούμεθα, ὅτι αὐτὸ τὸ ἅγιον λείψανον ἀψευδέστατα, καὶ ἀληθέστατα, ὑπάρχει οἰκεῖον καὶ ἴδιον τῆς Θεοπρομήτορος ἁγίας καὶ δικαίας Ἄννης. λοιπὸν ἐχέτω ἄδειαν ὁ παρὼν ἐν Ἱερεῦσιν εὐλαβέστατος παπᾶ κὺρ Ἰωάννης, εἰς τὸ δωρήσασθαι αὐτό, τοῖς εὐσεβέσι, πρὸς ἀπόδοσιν, καὶ ἀπαλλαγὴν τοῦ χρέους αὐτοῦ.

Ὅθεν εἰς πληροφορεστάτην, καὶ ἀδίστακτον πίστωσιν, ἐπικυρωθέν, καὶ ἐπιβεβαιωθὲν τὸ παρὸν ἐνδεικτικόν, καὶ συμμαρτυρικὸν γράμμα ταῖς ἡμετέραις σφραγῖσι τε, καὶ ὑπογραφαῖς, ἐπεδόθη εἰς χεῖρας τοῦ προδιαληφθέντος Ἱερέως.

**Μητροπολίτης Καισαρείας Καππαδοκίας Ἐπιφάνιος.**

**Ἐπίσκοπος Χαλδίας Σίλβεστρος.**

**«Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις»**

(1) Ἐῤῥανίσθη ἐκ τοῦ Κώδικος τῆς Σκήτης

## Οἶκοι κδ'., κατ' Ἀλφάβητον, τῆς Ἁγίας ἐνδόξου Θεοπρομήτορος Ἄννης. Ψαλλόμενοι ἐν τῷ Ναῷ αὐτῆς, κατὰ τὴν ϛην ᾠδήν.

### Κοντάκιον, πρὸς τό, Τῇ ὑπερμάχῳ.

Τῆς Θεοτόκου τῇ μητρὶ τὸν ὕμνον πλέξωμεν, Ἄννῃ τῇ Θείᾳ ἐν ᾠδαῖς συμφώνως μέλποντες· ἀπαστράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ κόσμῳ, καὶ παρέχει τὰς ἰάσεις τοῖς προστρέχουσι, τῷ Ναῷ αὐτῆς καὶ νέμει χάριν ἄφθονον, τοῖς κραυγάζουσι.

Χαίροις Ἄννα Θεόκλητε.

Ἄγγελος οὐρανόθεν, καταπτάς σοι ἐπέστη, ἐν παραδείσῳ σου Ἄννα προσευχομένης, (γ) εἰσηκούσθη σου ἡ δέησις βοῶν, καὶ συλλαβοῦσα τέξεις παῖδα, τὴν γεννῆσαι μέλλουσαν τὸν τῶν ὅλων Δεσπότην· διό σοι προσφωνῶ τοιαῦτα.

Χαῖρε δι' ἧς ἡ χαρὰ ἐφύη·
Χαῖρε δι' ἧς ἡ ἀρὰ ἐλύθη.
Χαῖρε μητέρων πασῶν ὑπερέχουσα·
Χαῖρε Παρθένον Ἁγνὴν ὡς ἀνίσχουσα.
Χαῖρε Ἄννα ἡ θεόκλητος, μήτηρ τῆς Θεοῦ Μητρός.
Χαῖρε χάρις Θεοβράβευτος, καὶ χαρὰ κόσμου παντός.
Χαῖρε χοροστασίαις Ἀγγέλων σκηνώσασα.
Χαῖρε τοῦ Παραδείσου τῆς τρυφῆς ἀπολαύουσα.
Χαῖρε ἡ μήτηρ τῆς Μητρὸς τοῦ Κυρίου.
Χαῖρε τεκοῦσα τὴν τροφὸν τοῦ Δεσπότου.
Χαῖρε δι' ἧς τὰ ἀρχαῖα παρῆλθε.
Χαῖρε δι' ἧς τὰ καινὰ ἀντεισῆλθε.

Χαίροις Ἄννα Θεόκλητε.

Βλέπουσα ἡ προμήτωρ, ἑαυτὴν ἐν στειρώσει, μὴ φέρουσα τὸ ὄνειδος ἀτεκνίας, ἐβόησε πρὸς τὸν πάντων Δεσπότην· εἰ καρπὸν κἀμοὶ γαστρὸς παράσχῃς μοι, δοτόν σοι τῷ δοτῆρι προσάξω. ἐπακούσας δὲ Θεός, τὴν Ἁγνὴν τεκεῖν αὐτῇ δέδωκεν, αὐτῷ βοῶσαν.

**Ἀλληλούϊα.**

Γνῶσιν ἔνθεον σχοῦσα, ἡ Θεόκλητος Ἄννα, συλλήψεως τῆς Ἁγνῆς Θεοτόκου, γηθομένη ηὐλόγει τὸν Θεὸν λέγουσα· ἀτεκνίας ὄνειδος ἀφεῖλές μου, καρπὸν νηδύος δωρησάμενος· ἡμεῖς δὲ πρὸς αὐτὴν βοῶμεν.

Χαῖρε τερπνὴ ἐνέργεια χάριτος·
Χαῖρε στιλπνὸν καθάρσιον φύσεως.
Χαῖρε συζυγίας σεπτὸν ἀκροθίνιον·
Χαῖρε σωφροσύνης ἀκρότατον ὅριον.
Χαῖρε ὅτι τὴν Μητρόθεον κόρην ἔσχες ἐν γαστρί·



Χαῖρε ὅτι φῶς περίγειον ηὔγασας τοῖς ἐν τῇ γῇ·
Χαῖρε τῶν θαυμάτων πηγὴ ἀνεξάντλητος·
Χαῖρε ἰαμάτων κρήνη ἀνέκλειπτος.
Χαῖρε μητέρων πασῶν τὸ ἐνσφράγισμα·
Χαῖρε δικαίων ἁπάντων διάσωσμα.
Χαῖρε λατρείας νομικῆς ἡ κατάπαυσις.
Χαῖρε θυσίας λογικῆς ἡ φανέρωσις.

Χαίροις Ἄννα Θεόκλητε.

Δύναμις οὐρανόθεν, παραδόξως τῇ Ἄννῃ, ἐπῆλθε καὶ τὴν στείρωσιν ταύτης λύσασα, τὴν Ἁγνὴν συλλαβὴν αὐτὴν ἠξίωσεν, ἐν κόλποις δὲ αὐτὴν κρατοῦσα, ἔμελπεν ἐν εὐφροσύνῃ τῷ δοτῆρι οὕτως.

**Ἀλληλούϊα.**

Ἔχουσα ἐν νηδύϊ, ἡ Θεόκλητος Ἄννα, Μαρίαν τὴν Θεόνυμφον κόρην, προσχαρὴς ἀπῆλθεν ἐν Ναῷ Κυρίου, δῶρα δεκτὰ προσάξασα, καὶ αἶνον χαριστήριον τῷ Δεσπότῃ ᾄσασα, πρὸς ἣν ἡμεῖς βοῶμεν·

Χαῖρε ἐκ λαγόνων ἀγόνων κυήσασα.
Χαῖρε ἐξ ἀκάρπου νηδύος βλαστήσασα.
Χαῖρε θεσπισμάτων προφητῶν τὸ συμπέρασμα·
Χαῖρε ἀρετῶν ἁπασῶν τὸ συμφόρημα.
Χαῖρε ὅτι κόσμον ηὔγασας τῇ κυήσει σου σεμνή·
Χαῖρε ὅτι ζόφον ἔλυσας τῆς ἀπάτης μόνη σύ.
Χαῖρε τῶν εὐσεβούντων ἡ στερέμνιος βάσις·
Χαῖρε τῶν ἀνομούντων ἡ παντέλιος πτῶσις.
Χαῖρε ὅτι πλοῦτον εὐτεκνίας ἐπόθησας·
Χαῖρε ὅτι ὄλβον εὐλογίας ἀπήλαυσας.
Χαῖρε κρατὴρ τοῦ νέκταρος πάροχε.
Χαῖρε λουτὴρ καθάρσεως ἔμπλεε.

Χαίροις Ἄννα Θεόκλητε.

Ζεῦγος ἡγιασμένον, Θεῷ καὶ πεποθημένον, Ἄννα Ἰωακεὶμ τε ξυνωρὶς θεία, φύνται Θεοτόκου κόρης λαχόντες, προπατόρων ἀρᾶς ἀπηλλάγητε, καὶ γῆθεν πρὸς πόλον μεταστάντες νῦν, Θεῷ βοᾶτε.

**Ἀλληλούϊα.**

Ἤκουσαν τὴν τῆς Ἄννης, σύλληψιν ὑπὲρ φύσιν, φυλαὶ τοῦ Ἰσραὴλ καὶ δραμοῦσαι, συνέχαιρον αὐτῇ, καὶ τεκοῦσαν Κόρην, ἐν Ναῷ Κυρίου λαμπαδουχοῦσαι ἤνεγκαν, Θεῷ καθιερώσαντες· πρὸς τὴν τεκοῦσαν δὲ ὁ Ζαχαρίας ἔφη.

Χαῖρε χαρᾶς τοῦ γένους ἡ πρόξενος·
Χαῖρε ἀρᾶς τῆς πρώην ἀναίρεσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Χαῖρε ἀηδὼν λιγυρὰ καὶ καλλίφωνος.
Χαῖρε χελιδὼν ᾠδικὴ καὶ τερπνήφθογγος.
Χαῖρε νάμα ὃ ἐξέῤῥευσε παραδόξως ἐξ Ἐδέμ.
Χαῖρε πόμα ὃ ἀνέψυξε τοὺς τακέντας ἐξ Ἀδάμ.
Χαῖρε Ἰσραὴλ ἐκλεκτοῦ ἐγκαλλώπισμα.
Χαῖρε τοῦ λαοῦ τοῦ πιστοῦ τὸ ῥιάσωσμα.
Χαῖρε μήτηρ Μητροθέου πανθαύμαστε·
Χαῖρε σύνευνε Ἰωακεὶμ ἀξιάγαστε.
Χαῖρε φιλοῦσα καὶ Θεῷ φιλουμένη·
Χαῖρε ποθοῦσα καὶ Θεῷ ποθουμένη.
Χαίροις Ἄννα Θεόκλητε.

Θαυμαστὴ ἐν τῷ κόσμῳ, ἀνεδείχθης τῷ ὄντι, Ἄννα Θεοπρομῆτορ Κυρίου· παρ' ἐλπίδα καὶ γὰρ τὴν μόνην Θεοτόκον κυήσασα, χαρὰν πᾶσιν ἐπήγασας, καὶ κράζειν Θεῷ ἔπεισας τὸν ὕμνον οὕτως.

**Ἀλληλούϊα.**

Ἰδεῖν κατηξιώθης, Ἄννα Θεοπρομῆτορ, θυγάτριον τὴν Ὑπέραγνον κόρην, ἐξ ἧς ὁ τῶν ἁπάντων Κύριος τεχθείς, τὴν φύσιν τὴν ἡμῶν ἐκαίνισεν, καὶ λατρεύειν τῷ ἐν Τριάδι Θεῷ ἐδίδαξεν· διὸ πρὸς σὲ νῦν προσφωνοῦμεν.

Χαῖρε Σελήνη παμφαεστάτη·
Χαῖρε αὐγὴ ἡ τηλαυγεστάτη.
Χαῖρε σωφροσύνην τελείαν φυλάξασα·
Χαῖρε τῆς ἁγνίας τὸ κάλλος τηρήσασα.
Χαῖρε χείλη οὐρανόβροντα τῆς Θεότητος Χριστοῦ.
Χαῖρε γλῶσσα μελιτόβρυτος οἰκονομίας αὐτοῦ.
Χαῖρε κρυφιομύστου Θεοῦ τὸ συμπέρασμα·
Χαῖρε τρυφῆς Ἐδὲμ τῆς εἰσόδου τὸ ἄνοιγμα.
Χαῖρε ἡ τρυγὼν σωφροσύνης τὸ ἄγαλμα·
Χαῖρε περιστερὰ λογικὸν ἐνδιαίτημα.
Χαῖρε χάριν διδοῦσα τοῖς εἰς σὲ προσιοῦσι·
Χαῖρε σὺ ὅτι πάρει τοῖς ἀεί σε αἰτοῦσι.
Χαίροις Ἄννα Θεόκλητε.

Κόσμου ἡδυπαθείας, καὶ σαρκὸς προσπαθείας, ἠλόγησας Ἄννα Θεοπρομῆτορ, ἀμέμπτως πολιτευσαμένη ἀξιΰμνητε, διόπερ κατηξίωσαι τεκεῖν τὴν τὸν Θεὸν γεννήσασαν, πρὸς ὃν βοῶμεν.

**Ἀλληλούϊα.**

Λάμψασα σώφρων Ἄννα, ὡς σελήνη ἐν νόμῳ, ἀπήλασας λαγνείας τὸν ζόφον· τὰς γὰρ νόμου πάσας ἐντολὰς ἀμέμπτως συντηρήσασα, Μητροθέου κόρης μήτηρ γέγονας, καὶ χάριν παρὰ πάσας εἴληφας, ὡς ἂν σοι προσφωνῶμεν ταῦτα.



Χαῖρε λαμπρὸν τῆς ἁγνίας ἴνδαλμα·
Χαῖρε φαιδρὸν σωφροσύνης ἄγαλμα.
Χαῖρε ὑπεριδοῦσα ὡς οὐκ ὄντων παρόντων·
Χαῖρε πρόνοιαν σχοῦσα ὡς μενόντων μελλόντων.
Χαῖρε ὅτι ὑπεχώρησε πᾶσα πλάνη διὰ σοῦ.
Χαῖρε ὅτι ἐπεχόρευσε πᾶσα χάρις διὰ σοῦ.
Χαῖρε ἡ πρὸ θανάτου ἐνεργοῦσα τεράστια·
Χαῖρε ἡ μετὰ πότμον ἐκτελοῦσα θαυμάσια.
Χαῖρε ἣν ἀνυμνοῦσιν ἐν τοῖς πέρασι κόσμου.
Χαῖρε ἣν εὐφημοῦσιν αἱ δυνάμεις τοῦ πόλου.
Χαῖρε Ἀγγέλων τὰς τάξεις εὐφραίνουσα·
Χαῖρε Ἁγίων χορείας ἡδύνουσα.
Χαίροις Ἄννα Θεόκλητε.

Μέλλουσα ἐκδημῆσαι, ἀπὸ γῆς πρὸς τὰ ἄνω, Ἄννα Θεοπρομῆτορ Κυρίου, οὐρανόθεν σοι ἐπέστη φωτεινὸς Ἄγγελος, τὴν ἐκ τοῦ σκήνους σου διάζευξιν μηνύων, καὶ εὐχομένη σὺ τὸ πνεῦμα τῷ Θεῷ παρέθου, μοναῖς σεπταῖς σκηνώσασα, καὶ σὺν Ἀγγέλοις μέλπουσα τὸν ὕμνον.

**Ἀλληλούϊα.**

Νέαν θέλων ὁ κτίστης, ἀναδεῖξαι τὴν κτίσιν, τὴν ἄγονόν σου ἤνοιξε μήτραν, καὶ ἔδωκέ σοι καρπὸν τὴν μόνην Ὑπεράμωμον, ἐν ᾗ ὁ λόγος σκηνώσας, σωτηρίαν ἡμῖν εἰργάσατο, ὅθεν εὐχαρίστως σοι βοῶμεν.

Χαῖρε ζωῆς τὸ σκεῦος ἡ τέξασα·
Χαῖρε ὀδμῆς τοὺς πάντας πληρώσασα.
Χαῖρε ὅτι μετέστης ἐκ τῆς γῆς πρὸς τὰ ἄνω·
Χαῖρε ὅτι μετέσχες ἀκηράτων στεφάνων
Χαῖρε στέφανον ἀμάραντον δεξαμένη ἐκ Θεοῦ·
Χαῖρε θάλαμον οὐράνιον νῦν οἰκοῦσα παρ' αὐτοῦ.
Χαῖρε πρὸς δόμους οὐρανίους οἰκήσασα.
Χαῖρε πρὸς χώρους νοητοὺς ἡ σκηνώσασα·
Χαῖρε ὅτι Ἁγίους συμπολίτας νῦν ἔχεις·
Χαῖρε ὅτι Ἀγγέλων ἀγλαΐας μετέχεις.
Χαῖρε δι' ἧς ἐλύθη ἀπόνοια.
Χαῖρε δι' ἧς ἐδόθη εὐμένεια.
Χαίροις Ἄννα Θεόκλητε.

Ξένη ἡ σύλληψίς σου, καὶ ἡ γέννησις πέλει, Ἄννα θεοπρομῆτορ Κυρίου· ἡ δὲ κοίμησις αὖθις ἔνδοξος πέφηνεν, ἐν μοναῖς αἰωνίοις εἰσοικήσασα, ἅμα Ἰωακεὶμ θεολήπτῳ, μεθ' οὗ βοᾷς ἀλήκτως τῷ Κυρίῳ οὕτως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

**Ἀλληλούϊα.**

Ὅλη πνεύματι ἄνω, καὶ λειψάνοις σου κάτω, πάρει θεόκλητε Ἄννα ταχέως τοὺς καλοῦντάς σε προφθάνουσα, καὶ τῷ σεπτῷ Ναῷ σου προσεδρεύοντας, ἐν ᾧ εὐλαβῶς ἱστάμενοι, λιτάζομέν σε θερμῶς, ἀναφωνοῦντές σοι τοιαῦτα·

Χαῖρε ἁγνὸν ἁγνῆς οἰκητήριον·
Χαῖρε σεμνὸν Θεοῦ τὸ ἐκλόγιον.
Χαῖρε χοροῖς δικαίων χορεύουσα.
Χαῖρε πασῶν μητέρων ἐξάρχουσα.
Χαῖρε νῦν συμβιοτεύουσα τῇ σεπτῇ σου θυγατρί.
Χαῖρε ἅμα συνδιάγουσα τῷ κλεινῷ Ἰωακείμ.
Χαῖρε ἔμψυχος στήλη σωφροσύνης τελοῦσα·
Χαῖρε ἄφθονος κρήνη ἰαμάτων τυχοῦσα.
Χαῖρε ὑμνηταῖς σου τὰ αἰτήματα νέμουσα·
Χαῖρε σοῖς οἰκέταις τὰς ἐντεύξεις βραβεύουσα·
Χαῖρε δωρεὰν ἰωμένη τοὺς ἅπαντας·
Χαῖρε εὐσθενῶς διασώζουσα κάμνοντας·

Χαίροις Ἄννα Θεόκλητε.

Πᾶσαν χάριν ἐδέξω, ἀξιάγαστε Ἄννα, ὡς τέξασα Θεοῦ τὴν μητέρα· νόμοι γὰρ φύσεως ἐν σοὶ εἴργησαν, καὶ στείρωσις ἐλύθη τῇ κυήσει σου καὶ μεταστᾶσα νῦν πρὸς Παραδείσου πλάτος ᾤκησας, ἅμα σῷ συνεύνῳ μελῳδοῦσα.

**Ἀλληλούϊα.**

Ῥεῖθρα βλύζεις θαυμάτων, τοῖς τῇ θείᾳ σορῷ σου, προστρέχουσιν Ἄννα θεοπρομήτορ· Ἰσραὴλ δὲ νέου φρουρὸς δείκνυσαι, δεινῶν παντοίων σώζουσα, καὶ συγκινοῦσα τοῦ βοᾶν σοι ταῦτα.

Χαῖρε λαοῦ εὐσεβοῦντος κέρας.
Χαῖρε ἁγνῶν Μοναζόντων γέρας.
Χαῖρε οὐρανίων δυνάμεων ἥδυσμα.
Χαῖρε γηγενέων μερόπων ἀπάνθισμα.
Χαῖρε ὅτι δόξα γέγονας οὐρανοῦ τε καὶ τῆς γῆς.
Χαῖρε ὅτι χάριν εὕρηκας παρὰ πάντας γηγενεῖς.
Χαῖρε τῶν σοὶ προσφευγόντων τὸ φυλακτήριον.
Χαῖρε τῶν ὄντων ἐν θλίψεσι παραμύθιον.
Χαῖρε ἁγιωσύνης τὸ ἁγνὸν οἰκητήριον·
Χαῖρε δικαιοσύνης τὸ φαιδρὸν ὁρμητήριον.
Χαῖρε ζωῆς αἰωνίου τρυφῶσα.
Χαῖρε φωτὸς ἀκηράτου λαχοῦσα.

Χαίροις Ἄννα θεόκλητε.



Σῶσον πάντας τοὺς πόθῳ, νῦν τὴν μνήμην τελοῦντας, σεπτῆς σου Μεταστάσεως Ἄννα καὶ λειψάνων θήκην εὐλαβῶς, ἀσπαζομένους σου κινδύνων ῥύουσα, καὶ πάσης βλάβης ἀπαλλάττουσα, Θεῷ βοῶντας.

**Ἀλληλούϊα.**

Τεῖχος εἶ τῶν μητέρων, ἀξιάγαστε Ἄννα, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· τὴν γὰρ πασῶν ἁγιωτέραν στεῖρα οὖσα κυήσασα, τὸν κόσμον εὐλογίας ἐπλήρωσας· ὅθεν κατὰ χρέος εὐφημοῦντές σε φαμὲν τοιάδε.

Χαῖρε θνητῶν ἀθάνατον νέκταρ·
Χαῖρε βροτῶν ἀνθηφόρον ἔαρ.
Χαῖρε τῶν πενθούντων ὀξεῖα ἀντίληψις·
Χαῖρε λυπουμένων ἑτοίμη ἐπίσκεψις.
Χαῖρε πάντων εὐδυσώπητος πρὸς Θεὸν καταλλαγή·
Χαῖρε ὅλων εὐσυμπάθητος λυπηρῶν ἀπαλλαγή.
Χαῖρε τῶν πταιόντων τὸ μέγα διάσωσμα.
Χαῖρε τῶν πιπτόντων τὸ κρεῖττον ἐξίλασμα.
Χαῖρε ἡ τῶν νοσούντων ταχινὴ θεραπεία·
Χαῖρε ἡ καχεκτούντων εὐσθενὴς ἰατρεία.
Χαῖρε ζωῆς αἰωνίου μεθέξασα.
Χαῖρε ἀλήκτου τρυφῆς ἀπολαύσασα.

Χαίροις Ἄννα Θεόκλητε.

Ὕμνον ἅπαντες Ἄννα, ἐν ἁγίῳ σου οἴκῳ, προσφέρομεν εὐλαβῶς σοὶ οἰκέται· ἐφυμνίους γὰρ ᾠδὰς ἂν προσάξωμεν οἱ δοῦλοί σου, οὐδὲν τελοῦμεν ἄξιον χαρίτων διδομένων ἡμῖν, ἀλλ οὖν βοῶμεν.

**Ἀλληλούϊα.**

Φωτοφόρος ὁ οἶκος, ὁ σὸς δείκνυται Ἄννα, τὴν χάριν σου οἷα φῶς ἀπαστράπτων· εἰσιοῦσι γὰρ πᾶσι χαράν, εὐεξίαν τε παρέχει δωρεὰν τοῖς χρήζουσιν, ἀνθ' ὧν εὐλαβῶς βοῶμεν.

Χαῖρε ἀνθέων εὐόσμων χύσις·
Χαῖρε παθῶν δυσωδίας κλύσις.
Χαῖρε τοῦ πεμφθέντος φωτὸς ἡ διάδοσις·
Χαῖρε τῶν χαρίτων Θεοῦ ἡ ἐπίχυσις.
Χαῖρε πᾶσι διανέμουσα σῶν χαρίτων δωρεάς.
Χαῖρε τούτοις ἡ βραβεύουσα σῶν θαυμάτων ἀστραπάς·
Χαῖρε ὑμνοπόλους ποθοῦσα καὶ τέρπουσα.
Χαῖρε χρησμολόγους μισοῦσα τ' ἐλαύνουσα.
Χαῖρε πηγὴ ἐξ Ἐδὲμ ἡ ἐκβλύζουσα·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Χαῖρε αἴγὴ τὸν Ἀδὰμ ἡ φωτίζουσα.
Χαῖρε δι' ἧς θεραπεύονται νόσοι·
Χαῖρε ὑφ' ἧς ἐκδιώκονται πάθη.

Χαίροις Ἄννα Θεόκλητε.

Χάριτας ἡμεῖς πάντες, Ἄννα ὁμολογοῦμεν σῇ τῇ τῆς χαρᾶς ἐπωνύμῳ· διὰ γάρ σου τῆς ἀρχαίας ἀρᾶς ῥυσθέντες, εὐλογίαν κληρούμεθα, καὶ χαίροντες τῷ χάριν σοι χαρίσαντι βοῶμεν.

**Ἀλληλούϊα.**

Ψάλλοντές σου τὸν ὕμνον, σῶν θαυμάτων τὴν χάριν, κροτοῦμεν ἐν ἁγίῳ σου οἴκῳ· σωτηρία γὰρ ἡμῖν ἡ κύησίς σου γέγονε, χαρίτων δὲ ἡ κοίμησίς σου πρόξενος· διὸ ὀσμῆς λειψάνων σου ἐμφορούμενοι, βοῶμεν.

Χαῖρε πιστῶν ἑτοίμη βοήθεια·
Χαῖρε δεκτὸν πρεσβείας θυμίαμα·
Χαῖρε κανὼν καὶ στάθμη εὐθύτητος·
Χαῖρε ῥυθμὸς καὶ ὅρος ἁγνότητος.
Χαῖρε ὅτι σοῦ τὸ τέμενος βρύει χάριν δαψιλῶς·
Χαῖρε ὅτι σοῦ τὸ λείψανον νέμει ῥῶσιν πολλαπλῶς.
Χαῖρε ὅτι ἐφάνης ὄρνις κινναμοφόρος·
Χαῖρε ὅτι ἐδείχθης ὄρπηξ ὡς δασμοφόρος.
Χαῖρε δυὰς τερπνὴ συζυγία ἀρίστη·
Χαῖρε κλεινὴ ξυνωρὶς μεσιτεία μεγίστη.
Χαῖρε Θεοῦ καὶ ἡμῶν μεσῖτις·
Χαῖρε ἡμῶν ἀγαθὴ προστάτις.

Χαίροις Ἄννα Θεόκλητε.

Ὦ πανύμνητον ζεῦγος, καὶ δυὰς σεμνοτάτη, Προπάτορες Χριστοῦ Ἰωακεὶμ καὶ Ἄννα· (γ) δεδεγμένη ἡμῶν τὰς λιτάς, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελούσης λύτρωσαι κολάσεως, Θεῷ βοῶντας.

**Ἀλληλούϊα.**

**Στίχοι ἱκετήριοι.**

Τῆς Θεοτόκου οἱ τοκεῖς, δυὰς Θεοπατόρων·
Δικαίων οἱ ἐξάρχοντες, καὶ πάντων γεννητόρων.
Ἰωακεὶμ ὁ θαυμαστός, καὶ Ἄννα ἡ Ἁγία.
Ἡ συζυγία ἡ τερπνή, σεμνὴ καὶ πανολβία.
Ἵλεων ἀπεργάσασθαι, Θεὸν τὸν τῶν ἁπάντων·
Ὑπὲρ ἐμοῦ τοῦ ῥαψῳδοῦ ᾀδόντων τε ἁπάντων.

**Ἀμήν· γένοιτο!**

**Κανὼν παρακλητικὸς εἰς τοὺς Ἁγιαννανέτας**
**Ὁσίους καὶ Θεοφόρους Πατέρας ἡμῶν.**
**Μετὰ τὸ εὐλογητόν, τὸ Κύριε εἰσάκουσον, τὸ Θεὸς Κύριος,**
**καὶ τὰ κάτωθεν τροπάρια.**
**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὴν τῶν Ὁσίων Θεοφόρον τετράδα, καὶ τῶν Μαρτύρων τὴν σεπτὴν ἐννεάδα, ᾀσματικῶς ὑμνήσωμεν βοῶντες πρὸς αὐτούς· ἅπαντα τὰ σκάνδαλα τοῦ δολίου Βελίαρ, ἐκποδὼν ποιήσατε ἐξ ἡμῶν τῆς χορείας, ὅπως βιοῦντες ἀεὶ εἰρηνικῶς, τῷ εἰρηνάρχῃ ὀφθῶμεν εὐάρεστοι.

**Δόξα.—Ὅμοιον.**

Τοῖς Θεοφόροις καὶ Χριστοῦ στρατιώταις, ὡς ἀντιλήπτορσιν ἡμῶν καὶ προστάταις, προσπέσωμεν κραυγάζοντες ἐκ βάθους ψυχῆς· ἅπαντας στηρίξατε ἐν τῇ πέτρᾳ ἑδραίως, ἑδρασμοὶ ὡς πέλοντες εὐσεβείας ἑδραῖοι, ὁμολογίας ἡμῶν τῆς ἱερᾶς, τῆς ὀρθοδόξου μακάριοι πίστεως.

**Καὶ νῦν.—Θεοτοκίον ὅμοιον.**

Οὐ σιωπήσομέν ποτε Θεοτόκε κ.τ.λ.

**Εἶτα ὁ Ν.΄ ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.**

Λιταῖς ταῖς ἡμῶν σωθείημεν Πατέρες, Γ. Μ. Μ.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Λελαμπρυσμένοι καλλοναῖς ἀσκήσεως, καὶ ἀγλαΐαις σεπταῖς, τῆς ἱερωτάτης καρτερᾶς ἀθλήσεως, νικητικῶς παρίστασθε, τῷ Δεσπότῃ τῶν ὅλων, ὑπὲρ ἡμῶν ἱκετεύοντες, Ὅσιοι Πατέρες τρισκαίδεκα.

Ἱερωθέντες τῇ ψυχῇ καὶ σώματι, ἀσκητικαῖς ἀγωγαῖς, τὸν τῶν παθημάτων σάλον κατευνάσαντες, ἁγιασμοῖς τοῖς κρείττοσι, συνεκράθητε θείως, ὡς ἐφικτὸν τῷ Παντάνακτι· ᾧ προσοικειώσατε ἅπαντας.

Τῶν ἐναντίων αἱ σφοδραὶ ἀντίπνοιαι, ἡμῖν προσπνέουσι νῦν, καὶ πρὸς ἀπωλείας νοητῆς τὰ βέρεθρα, κατάξαι ἐπισπεύδουσι, Θεοφόροι Πατέρες, ὑμῶν πρεσβείαις σκεδάσατε, τούτων τὴν φορὰν καὶ τὴν ἔντασιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Θεοτοκίον.**

Ἀνενδοιάστως τοὺς ἀεὶ ἐλπίζοντας, τῇ σῇ πρεσβείᾳ Ἁγνή, ἀνωτέρους πάσης, βλάβης διατήρησον, καὶ τῶν σκανδάλων λύτρωσαι, καὶ φατρίας πεισμώδους, τοὺς ἐνοικοῦντας ἐν ὄρει σου, ὡς αὐτῶν προστάτις καὶ πρύτανις.

**Ὠδή, γ΄. Οὐρανίας ἁψῖδος.**

Ἱερεῖς πεφραγμένοι, καὶ θεϊκοῖς ἔπεσιν, Ἄγαρ τὴν παμμίαρον πλάνην, ἐστηλιτεύσατε· καὶ νῦν ὀλέσατε, ὀρθοδοξίας ὡς στύλοι, κατ' αὐτῆς αἱρόμενον φληνάφων ἄθροισμα.

Σθεναρῶς συμπλακέντες, τῷ δυσμενεῖ τρόπαιον, ἤρατε τῆς νίκης Πατέρες, τοῦτον ὠλέσαντες· καὶ νῦν συντρίψατε, αὐτοῦ δεινὰς πανουργίας, ἃς τεκταίνει πάντοτε, ἡμῶν εἰς ὄλεθρον.

Τῶν αἱμάτων τοῖς ῥείθροις, περιφανὲς ἔνδυμα, καὶ τῆς ἀφθαρσίας τὴν βύσσον, συνεξυφάναντες, ἣν περικείμενοι, τῆς εὐφροσύνης χιτῶνα, κἀμὲ ἐπενδύσατε, τὸν γυμνητεύοντα.

**Θεοτοκίον.**

Ἀειπάρθενε κόρη, τῶν μοναστῶν ἔρεισμα, πᾶν νεωτερίζον ἀπᾷδον, πόῤῥῳ ἀπέλασον, τὸ προσχωροῦν μανικῶς, τῇ παναγίᾳ σου ποίμνῃ, ἐν ἡμῖν διχόνοιαν, ποιοῦν καὶ ἔριδας.

Διάσωζε τριῶν καὶ δέκα Πατέρων πληθὺς Ὁσία, ἀπὸ παντοίων δεινῶν περιστάσεων, καὶ ψυχοφθόρων κινδύνων τοὺς σὲ ὑμνοῦντας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ. κ. τ. λ.

**Εἶτα μνημονεύει ὁ Ἱερεύς, καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομεν τὸ ἑπόμενον κάθισμα.**

**Ἦχος δ΄. Πρεσβεία θερμή.**

Λαμπτῆρες φαιδροί, τῆς Σκήτης τῆς Προμήτορος, Πατέρες σεπτοί, τρισκαίδεκα φωτίσατε, φωτοβόλοις λάμψεσι, καὶ τοῖς Θεϊκοῖς ἀμαρύγμασι, τὰς διανοίας ἡμῶν τῶν ἐν νυκτί, ἀμελείας βιούντων διόμεθα.

**Ὠδή, δ΄. Σύ μου ἰσχύς.**

Ἰδοὺ χειμών, ῥαγδαιοτάτως, κατέρρευσεν, ἀθεΐας ἐπικλύζων ῥεύμασιν, οἷα χειμάρροις ὁρμητικοῖς, καὶ ἐρεσχελείας, τῶν μωρολόγων τοῖς κύμασιν, οἰόμενος ὀλέσας, τὴν σὴν νηὸν οἰκτίρμον, ἀλλ' ἐν τάχει αὐτὸν νῦν μετάτρεψον.



Σωματικῶς, καὶ ψυχικῶς ἐξιώμενοι, τῷ φαρμάκῳ τῶν ὑμῶν δεήσεων, μὴ διαλίπητε ἐσαεί, τοὺς ἀνευφημοῦντας, τὰς ἀριστειὰς καὶ σκάμματα, καὶ σκήτῃ ἐνοικοῦντας, ὑμῶν θεῖοι Πατέρες, ὡς αὐτῆς πολιοῦχοι δεόμεθα.

Ὗς ἐκ δρυμοῦ, Δαϊτικῶς ἐξελήλυθε, καὶ τὴν ποίμνην τὴν ὑμῶν λυμαίνεται, ὁ λυμεὼν ὁ κακεντρεχής, ἀεὶ ἐπισπείρων, φιλονικείας καὶ ἔριδας· διὸ ὑμῶν Πατέρες, εὐχαῖς ταῖς Θεοδέκτοις, ἐξ αὐτῆς τοῦτον τάχος ἐλάσατε.

**Θεοτοκίον.**

Μετὰ Θεόν, σὲ προστασίαν κεκτήμεθα, Θεομῆτορ κόρη ἀειπάρθενε, οἱ ἐνοικοῦντες ἐν τῷ σεπτῷ, Ἄθωνος τῷ ὄρει, τῶν Μοναστῶν τὰ συστήματα· διὸ μὴ διαλίπῃς, ἡμᾶς ἀεὶ φρουροῦσα, καὶ παντοίων δεινῶν ὑπεξαίρουσα.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω;**

Ὡραιώθητε θείως, Ὅσιοι καὶ μάρτυρες τοῦ Παντοκράτορος, καλλοναῖς ἐνθέοις, τῷ ὡραίῳ Χριστῷ συνεγκράθητε· ὅθεν τῆς ψυχῆς μου, τὴν ἀμορφίαν ἱκετεύω, ὡραιώσατε. Θείοις χαρίσμασι.

Νεκρωθέντες τῷ κόσμῳ, ταῖς ὑπερφυέσιν ἐνθέοις ἀσκήσεσι, ζωὴν τὴν ἀγήρῳ πρὸς Χριστοῦ ἐπαξίως εἰλήφατε· ὅθεν νεκρωθέντα, κἀμὲ ἀμέτροις πλημμελείαις, Θεοφόροι Πατέρες ζωώσατε.

Σελασφόροι ἀστέρες, ὀρθοδόξου πίστεως Ὁσιομάρτυρες, ταῖς ἀστραπομόρφοις, σκοτινόμορφον νέφος διώξατε, νῦν τὸ προσεγγίσαν, βλασφημιῶν κακοφρονούντων, τῇ Χριστοῦ Ἐκκλησίᾳ λιταῖς ὑμῶν.

**Θεοτοκίον.**

Ὠθισμοὺς ψυχοφθόρους, ὤκιστα ἀφάνισον καὶ μεταποίησον, ἐπιγιγνομένους, κληρουχίᾳ τῇ σῇ Μητροπάρθενε, ὅπως συμβιοῦντες, εἰρηνικῶς τὰς φληναφίας, τῶν γλωσσάλγων ἁπάσας ἐκτρέπωμεν.

**Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.**

Θωρακισθέντες στεῤῥῶς, τῆς εὐσεβείας τῷ θώρακι, τῆς ἀσεβείας ὀσφρῦν, καὶ θράσος καθείλετε· καὶ νῦν διωλέσατε, νεωτεριζόντων, Ὁσιόαθλοι τὸ ἄθροισμα.

Ἐκ τῶν Δυσμῶν καυστικός, τῆς ἀθεΐας προσέπνευσε, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἀὴρ φλέγων ὅρπηκας, εὐσεβείας Ὅσιοι, πρεσβειῶν ταῖς αὔραις, ὑμῶν τοῦτον ἀφανίσατε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἰλύος τῆς ῥυπαρᾶς, τῶν παθημάτων λυτρώσατε, τοὺς εὐφημοῦντας ὑμᾶς, Πατέρες τρισκαίδεκα, τῆς Σκήτης κλεΐσματα, τῆς Χριστοῦ Προγόνου, καὶ τοῦ Ἄθω ὡραΐσματα.

Θεοτοκίον.

Ἡ σκέπη ἡ κραταιά, καὶ πολιοῦχος καὶ πρύτανις, τοῦ Ἄθωνος τοῦ σεπτοῦ, Μαρία πανάχραντε, ἡμᾶς σκέπε πάντοτε, ἐκ παντοίας βλάβης, καὶ αἱρέσεως δεόμεθα.

Διάσωζε τριῶν καὶ δέκα Πατέρων πληθὺς Ὁσία, ἀπὸ παντοίων δεινῶν περιστάσεων καὶ ψυχοφθόρων κινδύνων τοὺς σὲ ὑμνοῦντας.

Ἄχραντε ἡ διὰ λόγου. κ. τ. λ.

**Αἴτησις ὡς δεδήλωται καὶ τὸ Κοντάκιον.**

**Ἦχος δ΄. Προστασία.**

Προστατεύειν τὰ τῶν μοναζόντων συστήματα, καὶ ἐλαύνειν τὰ τῶν δυσμενῶν πανουργεύματα, μὴ ἐλλείπητε Πατέρες τετράριθμοι ἀεί, καὶ ἐννεάριθμοι κλεινοί, Ὁσιομάρτυρες Χριστοῦ, ὡς ἡμῶν ἀντιλήπτορες, ὅπως εὐαρεστοῦντες, ἔργοις σεπτοῖς Κυρίῳ, ὑμᾶς τιμῶμεν ἐν ᾠδαῖς, καὶ τρυφῆς τῆς θείας τύχωμεν.

**Καὶ εὐθὺς τὸ προκείμενον.**

Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται.

**Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.**

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος· πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς· ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα ; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηρούς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Πᾶν δένδρον, μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται· ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς



ὁ λέγων μοι· Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

**Δόξα. Ταῖς τῶν σῶν Ὁσίων.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.**

**Ἦχος πλ. δ.΄ Ὅλην ἀποθέμενοι.**

Δόξης ἐμφορούμενοι, τῆς θεϊκῆς ὑπὲρ λόγον, καὶ φωτὸς πληρούμενοι, τοῦ τριλαμπεστάτου ὑπὲρ κατάληψιν, μετοχῇ κρείττονι, σὺν Ἀγγέλων δήμοις, Θεοφόροι οἱ τρισκαίδεκα, νέφος ἐλάσατε ἐξ ἡμῶν παθῶν τε καὶ θλίψεων, καὶ τῷ φωτὶ φωτίσατε, ᾧ ἐπεντρυφᾶτε τὸν νοῦν ἡμῶν, ἵνα ἐγρηγόρως, ὁδεύσωμεν ὁδὸν τὴν φωταυγῆ, τῶν ἀρετῶν τὴν ἀπάγουσαν, πρὸς φωτὸς σκηνώματα.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου. κ.τ.λ.**

**Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.**

Μόχθοις σεπτοῖς βεβιωκότες, νῦν τὴν ἄπονον κληροῦσθε εὐφροσύνην, πάντα πόνον ἡμῶν κουφίζοντες καὶ λύπην, Πατέρες οἱ τετράριθμοι Σκήτεως οἱ πολιοῦχοι.

Ἔφαναν φέγγει εὐσεβείας, καταυγάζοντες τὰς τῶν πιστῶν χορείας, ἐναθλοῦντες στερρῶς, καὶ νῦν ἡμῶν τὰς φρένας, ὑψόθεν καταλάμπουσιν, ἐννεάριθμοι ὁπλῖται.

Νίκης τὰ τρόπαια ἀρθῆναι, ἱκετεύσατε κατὰ λατινοφρόνων, παρ' ἡμῶν εὐσεβῶν, μενόντων ἀραρότως, ὀρθοδοξίας δόγμασιν, οἱ τρισκαίδεκα Πατέρες.

Θεοτοκίον.

Πάντων δεινῶς ὠρυομένων, κατασύντριψον τὰς κάρας Θεοτόκε, κατὰ ποίμνης τῆς σῆς, φρουροῦσα τοὺς βοῶντας, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.**

Ἄνωθεν ἐπισκέπτοντες, καὶ ἀτρώτους φυλάττοντες, Ὅσιοι Πατέρες πάντας μὴ ἐλλείπητε, βελῶν τῶν τοῦ δράκοντος, καὶ ἐκ παντοίων ἀνιαρῶν, τοὺς ἐν τῇ σεπτῇ, Σκήτῃ ὑμῶν ἐνοικοῦντας, καὶ πίστει ἐκβοῶντας, λαοὶ ὑπερυψοῦτε, Πατέρα Λόγον Πνεῦμα, τὴν μίαν θεαρχίαν.

Τλήσαντες καρτερώτατα, τῶν μαρτύρων τὰ σκάμματα, φωταυγέσι δήμοις τούτων συνετάχθητε, φωτὸς ἀξιούμενοι, τοῦ ἀνεσπέρου καὶ θεαυγοῦς, Σκήτης

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῆς ἡμῶν, οἱ ἐννεάριθμοι στύλοι, φωτίζοντες ἀπαύστως, ὑμᾶς τοὺς εὐφημοῦντας, Ὁσίων καὶ μαρτύρων, δεδοξασμένον κλέος.

Ἔργοις σαὐτοὺς λαμπρύναντες, τῆς ἐνθέου ἀσκήσεως, τῶν ἀπαυγασμάτων θεϊκῶν ἐμπέπλησθε, Πατέρες τρισκαίδεκα, ὄρους τοῦ Ἄθω ῥόδα τερπνά, τοὺς ἐν τῇ νυκτί, τῆς ἀμελείας βιοῦντας, πρὸς ὄρθρον ἐμμελείας, ἰθύνατε ὑψόθεν, ἡμᾶς ὡς τῷ Δεσπότῃ, Χριστῷ παρεστηκότες.

### Θεοτοκίον.

Ῥώμῃ τῇ σῇ ῥωννύμενοι, μοναζόντων οἱ σύλλογοι, ἄχραντε Παρθένε μήτηρ τοῦ Παντάνακτος, ἁπάσας ἐκτρέπομεν, τῶν ἐναντίων τὰς προσβολάς, καὶ σοὶ τὴν ᾠδήν, ὑφαίνομεν εὐθύμως, βοῶντες ἀσιγήτως, χαῖρε Παρθενομῆτορ, τοῦ Ἄθω προστασία, καὶ θεία Θυμηδία.

### Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Εὐφραίνου τῆς Προμήτορος ἡ σεπτή, καὶ περίδοξος Σκήτη καὶ χόρευε, ὅτι ἐν σοί, ἤνθησαν ὡς δένδρα ἀειθαλῆ, Πατέρες οἱ τρισκαίδεκα, οὓς ἐκτήσω πύργους ὡς ἀῤῥαγεῖς, ἀπείργοντας ἐφόδους ἐχθρῶν μιαιφονούντων καὶ σὲ φρουροῦντας ἀσφαλέστατα.

Σκηνώσαντες ταῖς ἄνω θείαις αὐλαῖς, καὶ ζωῆς ἀϊδίου λαβόμενοι, ἔνθα γλυκύς, ἦχος ἐπακούεται ἐσαεί, δεόμεθα πρεσβεύσατε, ὑπὲρ τῶν ἐν πίστει εἰλικρινεῖ, ὑμᾶς ὑμνολογούντων τρισκαίδεκα Πατέρες, πάσης ῥυσθῆναι περιστάσεως.

Γαυρίαμα ἀθέων αἱρετικῶν, ἐνσκηψάτων δεινῶς ἐκ τῆς Δύσεως, ὡς ἐκ δρυμοῦ, δοκησισοφίας ἄνδρες λοιμοί, τὴν ποίμνην λυμαινόμενοι, τὴν ὀρθοδοξοῦσαν τοῦ Ἰησοῦ, ὑπούλως καθ' ἑκάστην, συντρίψατε Πατέρες, καὶ ἀφανίᾳ παραπέμψατε.

Μετὰ τῶν ἐν τῷ Ἄθῳ πανευκλεῶν, καὶ Ὁσίων Πατέρων μὴ παύσησθε, καὶ τῆς σεπτῆς, Ἄννης τῆς προμήτορος τοῦ Χριστοῦ, Πατέρες οἱ τρισκαίδεκα, τῷ Παμβασιλεύοντι ἐσαεί, προσάγοντες δεήσεις, θερμὰς ἱκετηρίους, ὑπὲρ ἡμῶν Θεομακάριστοι.

### Θεοτοκίον.

Μαρία σὺ εἶ ὄρος τὸ νοητόν, ἐξ οὗ λίθος χειρὸς βροτῶν ἄνευθεν ὁ Ἰησοῦς, Πάναγνε ἐτμήθη καὶ τὰ γλυπτά, τῆς πλάνης συνετρίψατο· ὅθεν πολεμοῦντας μανιακῶς, ὑπούλως καθ' ἑκάστην, ἐχθροὺς ὄλεσον τάχος, ὄρος τοῦ Ἄθω ὁ κεκλήρωσαι.



### Τὸ Ἄξιόν ἐστιν, καὶ τὰ κάτωθεν μεγαλυνάρια.

Δεῦτε μοναζόντων πᾶσα πληθύς, ἐν ὕμνοις ἐνθέοις εὐφημήσωμεν καὶ ᾠδαῖς, τοὺς σεπτοὺς Πατέρας, ἡμῶν τοὺς ποδηγέτας, καὶ τοὺς τοῦ ζωοδότου Ὁσιομάρτυρας.

Χαίροις τῶν Ὁσίων τετρὰς σεπτή, καὶ Ὁσιάθλων ἐννεάριθμε φωταυγής, φάλαγξ ἡ τοῦ σκότους, τροπώσασα τὰς τάξεις, καὶ τῷ φωτὶ τρυφῶσα, τῆς ἄνω λήξεως.

Γέρας ὁ Γερόντιος ἀρετῶν ὕμνοις γεραιρέσθω, καὶ Σωφρόνιος ὁ κλεινός, σὺν Διονυσίῳ, τῷ ῥητορικωτάτῳ, ὁ θεῖος Μητροφάνης ὁ παμμακάριστος.

Λουκᾶν καὶ Νικόδημον σὺν αὐτῷ Κοσμᾶν καὶ Νικήταν, Ἱλαρίωνα καὶ Δαυΐδ, Μακάριον ἅμα, Νεκτάριον καὶ Παῦλον, τοὺς θείους ἀριστέας ὑμνολογήσωμεν.

Χαίρετε Πατέρες οἱ δεκατρεῖς, τοῦ Ὄρους τοῦ Ἄθω ὡραΐσματα εὐαγῆ, καὶ ὄρπηκες θεῖοι, τῆς σεβασμίας Σκήτης, Μητρὸς τῆς Θεοτόκου οἱ εὐθαλέστατοι.

Ἀσκήσει λαμπρύναντες σεαυτούς, καὶ θείᾳ ἀθλήσει, ὡραΐσαντες ἱερῶς τῷ πεποθημένῳ παρέστητε Δεσπότῃ, δι' ἀμφοῖν ὀφθέντες αὐτῷ εὐάρεστοι.

Ἅμα σὺν Προγόνοις τοῦ Ἰησοῦ, Ἰωακεὶμ καὶ Ἄννῃ δυσωπήσατε τοῖς πιστοῖς, δοθῆναι Πατέρες τὴν ἄφεσιν πταισμάτων, καὶ γνῶσιν μετανοίας τοῖς ἐπιστρέφουσι.

Κἀμοὶ δὲ βραβεύσατε τῷ οἰκτρῷ αἴγλην σελασφόρον, φωτοφόροις ὑμῶν εὐχαῖς, τῷ τὴν ὑμνῳδίαν, νοήμασιν ἀπόροις ὑφάναντι τῷ φίλτρῳ ὑμῶν νυττόμενος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί. κ.τ.λ.

### Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, Αἴτησις παρὰ τοῦ Ἱερέως καὶ ἀπόλυσις, ἐν ᾗ ψάλλομεν τὰ κάτωθεν τροπάρια.

### Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πίστει ἀνενδότῳ τοὺς καλούς, τλήσαντες ἀγῶνας καὶ πόνους, Πατέρες Ὅσιοι, δόξης τὸ διάβημα, καὶ εὐπρεπείας σεπτῆς, ἱερῶς ἀνεδήσασθε, χειρὶ ζωηφόρῳ, τῆς ἀΰλων στάσεως καταξιούμενοι, ὅθεν διεγείρατε πάντας, μίμησιν ὑμῶν καὶ πρὸς κτῆσιν, τοῦ ἐνθέου βίου, βίου καὶ λαμπρότητος.

### Ἕτερον Ὅμοιον.

Πλάνην καθελόντες κραταιῶς, Ἄγαρ στυγερὰν ἀπογόνων, δυνάμει κρείττονι, πρὸς τὸ φῶς μετήλθετε τῆς ἄνω λήξεως, τὰ βραβεῖα ληψόμενοι, καὶ τὰς ἀντι-

δόσεις, μάρτυρες ὡς ἔννομοι, τῆς ἀληθείας Χριστοῦ, ὅθεν φληναφίας ἀθέου, ὕψωμα καθέλεσθε τάχος, ἐπαρθὲν κατὰ τῆς θείας πίστεως.

Δέσποινα πρόσδεξαι.

Τῇ πρεσβείᾳ Κύριε.

**Ἀπολυτίκια τῆς Ἁγίας Ἄννης.**

**Ἦχος γ΄. Θείας Πίστεως.**

